# Agathangelus

neu herausgegeben

von

*Paul de Lagarde.*

*Der königlichen Gesellschaft der Wissenschaften zu Goettingen am 5 November 1887 vorgelegt.*

Im Jahre 1762 erschien im achten Septemberbande der Acta Sanctorum zum 30 September, von dem Iesuiten Iohannes Stilting herausgegeben, das in der Handschrift der Laurentiana VII 25 erhaltene Werk des Agathangelus über die Bekehrung Armeniens zum Christenthume. Wie man aus meinen 1866 veröffentlichten gesammelten Abhandlungen ersehen kann, ist mir dieser Text schon seit sehr langer Zeit wichtig vorgekommen. Ich habe meine Abschrift der Ausgabe Stiltings schon im April 1885 zu Florenz mit der aus dem zwölften Jahrhunderte stammenden Urschrift verglichen. So vortheilhaft meines Erachtens das Licht wäre, das auf meinen Neudruck fallen würde, wenn ich den alten Druck mit ihm geflissentlich vergliche, habe ich doch nicht geglaubt, meine guten Stunden, die so wie so auf die Neige gehn, mit dieser für die Wissenschaft nutzlosen Arbeit verderben zu dürfen.

Wo die Blätter der Handschrift anfangen, vermerke ich mit gewöhnlichen Zahlen am Rande. Die fetten Ziffern, die man daneben finden wird, verweisen auf die Seiten des 1835 zu Venedig stereotypierten armenischen Textes des Buches.

Die lateinische vita Gregorii, die Stilting aus einer Handschrift der Bibliothek Barberini herausgegeben hat, steht in der anderen Ausgabe meiner Onomastica sacra: warum sie dort steht, beliebe man aus der Vorrede zu diesem Buche, und aus meinen Mittheilungen **2** 382 383 zu lernen.

Indem ich die Vorrede zu meiner Ausgabe der Makamen des Ḥarîzî und das im zweiten Bande meiner Mittheilungen 374, 5 ff Geschriebene nachzulesen bitte, wahre ich der Verlagsbuchhandlung — ich selbst bin bei dem Handel völlig unbetheiligt — das Recht auf das hier erneuerte Buch in aller Form auch an dieser Stelle, da wenigstens ein Theil der von mir bei Dieterich herausgegebenen Schriften des Iohannes von Euchaita trotz des 1882 auf der Rückseite des Titels gemachten Vorbehaltes einem Diebe in die Hände gefallen ist: über den Verleger lese man Mittheilungen **1** Ende.

3[2] | Πρόλογος Ἀγαθαγγέλου, ἐν οἷς καὶ τὸ μαρτύριον τοῦ ἁγίου Γρηγορίου.

1 Οἱ τῇ ἐπιθυμίᾳ ταῖς ἐν πελάγεσιν ὁδοιπορίαις ἑαυτοὺς ἐκδιδόντες καὶ πρὸς τοὺς κινδύνους τῶν κυμάτων ἐπειγόμενοι προθύμως ναῦς κατασκευάζουσι καὶ ἐν θαλάττῃ τὸν βίον ἀσπάζονται, ἱστὸν ἱστῶντες καὶ τοῖς πηδαλίοις ἐκτέμνοντες τὴν τῶν ὑδάτων βίαν καὶ κυβερνοῦντες τὴν ναῦν ἔνθαπερ βουληθῶσιν, χαλιναγωγοῦντες καθ' ἅπερ πῶλον τὴν σκάφην πρὸς τὴν οἰκείαν ὁρμήν. τούτους οὐ δειλαίνει κυμάτων βία, οὐ προσβολὴ σπιλάδων καταπτοεῖ· ἐν κινδύνοις γὰρ διαιτώμενοι γείτονες θανάτου εἶναι ἀσπάζονται, ὅπως χορηγήσωσιν ἑκάστῳ τὰ πρὸς τὴν χρείαν.
4[1] καὶ οἱ μὲν πρὸς καταστροφὴν | πόλεων ἐπείγονται, οἱ δὲ πρὸς καλλωπισμὸν ἀνδρῶν τε καὶ γυναικῶν ἐπὶ τὴν ἰνδικὴν θάλατταν σπεύδουσι, τῆς ἐν ἐκείνοις εὐθηνίας λίθων τιμίων τοῖς δεομένοις μετακομίζοντες. εἰς τοιοῦτο οὖν κἀγὼ πέλαγος πραγμάτων εἰσελθών, βαδίσω τῷ λόγῳ ἐπὶ τὰ τῶν Ἀρμενίων πράγματα, συγγραφόμενος τῶν Περσῶν τε καὶ Ἀρμενίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους.

2 Πάρθοι ἐν εὐτυχίᾳ μεγίστῃ ὄντες, καὶ κρατοῦντες τῆς τῶν Περσῶν βασιλείας καὶ Ἀρμενίων καὶ Ἰνδῶν τῶν γειτνιαζόντων τοῖς ἑῴοις Πέρσαις, ἔτι δὲ τῶν σκληροτάτων Μασσαγετῶν, εἶχον τὴν τάξιν ταύτην. ὁ μὲν γὰρ πρῶτος τοῦ γένους τῶν Πάρθων, τῶν εἰς ὕστερον μετονομασθέντων Ἀρσακιδῶν, καὶ ἐν χρόνοις
4[2] τὰ πρεσβεῖα ἔχων καὶ ἐν ἀρετῇ κοσμούμενος, | ἐγίνετο τῆς τῶν Περσῶν βασιλείας κύριος, ὁ δὲ τὰ δεύτερα κληρούμενος ἐπέβαινεν τῇ τῶν Ἀρμενίων βασιλείᾳ, ὁ δὲ τὸν τρίτον βαθμὸν ἔχων τῇ τῶν Ἰνδῶν τῶν πλησίον ὄντων Περσῶν ἐβασίλευσεν, ὁ δὲ τέταρτος τῆς τῶν Μασσαγετῶν βασιλείας ἐπελαμβάνετο. αὕτη ἡ τάξις ὑπῆρχεν ἐν τῷ γένει τῶν Πάρθων, ἐπὶ πλεῖστόν τε χρόνον τῆς τοιαύτης εὐδαιμονίας ἐντὸς ἦσαν.

I 3 Ἄρξομαι δὲ ἐκεῖθεν ὅθεν τῆς πτώσεως ὁ Πάρθος ἀρχὴν ἐδέξατο. Ἀρταβάνης ὁ παῖς Οὐαλάρσου, ἐκ Πάρθων καταγόμενος, τῆς τῶν Χαλδαίων παιδείας ἐν πείρᾳ ὑπάρχων, δρόμους τε ἀστέρων καὶ ῥοπὰς ἀναμετρεῖν ἐπιστάμενος, καὶ τύχας εἰδέναι παιδευθείς, μετὰ τῆς οἰκείας ἀλόχου καθεύδων ἐν τῇ σκηνῇ
5[1] ἐσκόπει ἐπὶ τὰ φαινόμενα ἄστρα, ἔγνω δέ | τι, καὶ πρὸς τὴν βασιλίδα φησὶν Δρόμον ἐθεασάμην ἀστέρος, εἴκασά τε οὕτως τήμερον, εἰ τοῦ οἰκείου δεσπότου βουληθείη τις ἀποστῆναι πόλεμόν τε πρὸς αὐτὸν ποιῆσαι, ἐν τῷ παρόντι καιρῷ νικᾷ,

o Junge Hand über der Seite τοῦ ἁγίου Γρηγορίου τῆς μεγάλης Ἀρμενίας | 1 Ende + κύριε εὐλόγησον | 2 ταῖς Bm, τὰ m | 3 ἐπιγόμενοι | 3 προθύμοσ m, wo σ sehr jung auf einer Rasur, die für σ zu groß ist | 4 ἱστὸν B, ἱστῶν m | 5 anderes ν von ναῦν über was? | 6 τούτους erster Hand (schwarz nachgezogen) auf Rasur | 7 διαιτόμενοι | 8 γείτωνεσ | 8 χωρηγήσωσιν | 9 κατατροφὴν B, ein mir unbekanntes und unmögliches Wort | 9 ἐπίγωνται, jünger auf Rasur | 10 ται | 11 τοιοῦτō | 14 πάρθων | 15 γιτνιαζόντων | 16 μασαγετῶν | 17 αρσαδίκων: ob ἀ oder ά zu Anfang steht, entscheide ich nicht | 18 πρέσβεα, später zu πρέσβεια gemacht | 20 ἔχων alt aus ἔχον | 20 πλησίων | 21 μασεγετῶν | 22 ἐπίπλιστόν, der erste Accent jung gestrichen, der andere jung zugesetzt | 24 Ἄλ ρξομαι, wo Ἄ jung | 26 ῥωπᾶσ | 28 ἐσκόπη, aber am Rande erster Hand ει | 29 εἰκάσα | 29 ob vor εἰ etwas ausgewischt ist? | 30 Interpunction nach m

ἡττουμένου τοῦ δεσπότου. καὶ ταῦτα εἰρηκὼς ἐτράπη εἰς ὕπνον. κατὰ δὲ συνή-
θειαν μία τῶν θεραπαινίδων τῆς βασιλίσσης ἐν τῇ αὐτῇ σκηνῇ καθεύδουσα ὑ-
πούργει τῇ ἐπιταττομένῃ χρείᾳ παρ' αὐτῆς· ἥτις τῶν ἐν πρώτοις τελούντων θυ-
γάτηρ ὑπάρχουσα, συνήθης ἦν τινὶ τῶν μεγιστάνων, Ἀρτασίρᾳ προσαγορευομένῳ,
ἐκ τῆς πατριᾶς τῆς Ἀσσυρίας, πόθῳ τε πρὸς αὐτὸν βαλλομένη, καὶ τῶν ῥημάτων
τοῦ βασιλέως ἀκροατὴς γενομένη, λαθοῦσά τε τὸν βασιλέα καὶ τὴν βασιλίδα,
ἔδραμεν πρὸς Ἀρτασίραν παῖδα Σασάνου, ὅθεν καὶ Σασανικᾶν ἐκλήθησαν οἱ ἐξ
αὐτοῦ καταγόμενοι βασιλεῖς Περσῶν.

4 εἰσ|βαλοῦσα οὖν αὕτη εἰς τὴν σκηνὴν (διακωλύεσθαι γὰρ αὐτὴν ἐκ τῶν 5[2]
ὑπηρετούντων οὐκ ἦν· τὸ γὰρ φίλτρον τῶν ἀμφοτέρων οὐκ ἠγνοεῖτο) ἔλεγεν οὕτως·
Φίλε Ἀρτασίρα, ἀπίτω σου τῶν βλεφάρων ὁ ὕπνος· ὅρμα νῦν πρὸς τὴν βουλὴν
ἣν πάλαι εἶχες· θάρρει ἀφορῶν πρὸς τὴν μαντείαν τοῦ βασιλέως· νῦν καιρὸς πα-
νοπλίας, νῦν βουλῆς χρεία ἀνδρῶν σοφωτάτων, νῦν ἀθροῖσαι πλῆθος πρὸς παρά-
ταξιν δεῖ. ὁ γὰρ βασιλεύς, δρόμον ἀστέρων θεασάμενος, ἔφη Νῦν δοῦλος ἀν-
τιπράττων δεσπότῃ νικᾷ ἐν τῷ παρόντι καιρῷ. ἀλλὰ δεῦρο, σὺ μὲν χώρει ἐπὶ
τὴν βουλήν, ἐμοὶ δὲ δεξιὰν ἐπιδούς, ὅρκῳ βεβαίωσον τὴν ἐμὴν γνώμην, ὡς τῆς
βασιλείας Περσῶν ἐντὸς γινόμενος, ἐμὲ τῆς σῆς κοίτης ἔξω οὐ καθιστᾷς, κοινω-
νόν με τῆς αὐτῆς δεξιᾶς ἀποδεικνύων. | τοῦτο γὰρ ἀεί μοι ἔλεγες ἐπαγγελλόμε- 6[1]
νος, ἡνίκα τῆς αὐτῆς βουλῆς ἀπήρχου. ταῦτα μὲν Ἀρταδούκτα. ὁ δὲ Ἀρτασί-
ρας χάριν μεγίστην ὁμολογήσας καὶ ἁψάμενος τοῦ γυναίου τῆς χειρὸς μετὰ τῆς
οἰκείας δεξιᾶς ἀνατείνων εἰς οὐρανὸν ἔλεγεν οὕτως· Ὁράτω θεία δύναμις, ἥλιος καὶ
πῦρ, ἀήρ τε καὶ γῆ, ὡς τήμερον βουλευόμενος μετὰ τῶν ἀρίστων Περσῶν καὶ ἀφι-
στάμενος τοῦ βασιλέως, αὐτίκα σὲ ἐν τῷ ἐμῷ οἴκῳ δεσπόζειν πάντων παρασκευάσω.

5 ταῦτα ἀκούσασα Ἀρταδούκτα ἔλεγεν Βαδιῶ λοιπὸν πρὸς τὴν σκηνὴν τοῦ
βασιλέως· χρὴ γὰρ τὴν τήμερον τὴν τῶν προλαβουσῶν ἡμερῶν διακονίαν προσά-
γειν. εἰ γὰρ καὶ τύχην ἐλευθέραν κεκτήμεθα, τεχθέντες ἐκ μεγιστάνων, ἀλλὰ
δουλεύειν ταῖς βασιλικαῖς χρείαις χρή. ταῦτα εἰποῦσα ἐπορεύετο εἰς τὴν σκη-
νὴν τοῦ βα|σιλέως, καὶ λάθρα εἰς τὴν οἰκείαν κοίτην ὑπεισελθοῦσα ἀνεκλίνετο. 6[2]
ὁ δὲ Ἀρτασίρας ἀναστὰς συνήγαγεν τοὺς μεγιστάνους τῶν Περσῶν καὶ Ἀσσυρίων,
μεθ' ὧν καὶ ἐν ἄλλαις ἡμέραις ἐβουλεύετο, καὶ στὰς ἐν μέσῳ λέγει Ἄνδρες
ἄριστοι Περσῶν καὶ Ἀσσυρίων, τὴν τῶν Πάρθων ἀλαζονείαν ἐκ πολλῶν τῶν χρό-
νων ἴσμεν, ἀλλοτρίων πόνους ἁρπάζοντας· ἐγκαυχῶνται δὲ ἀδικοῦντες, μάτην φο-
νεύοντες οὐ παύονται, Περσῶν ἄνδρας καὶ Ἀσσυρίους βδελύττονται οἱ Πάρθοι,
ἐκ βαρβάρων γῆς ὑπεισελθόντες εἰς ἡμᾶς. τί οὖν ἐρεῖτε; εἰ ψευδεῖς οἱ ἐμοὶ
λόγοι, μενέτω βασιλεύων καὶ ἀδικῶν· εἰ δὲ τῆς ἀληθείας ἔξω οὐκ εἴρηκα, ὀρ-

31 jung zu ἡττωμένου gemacht | 31/32 συνήθεια | 32 θεραπενίδων | 34 ἀρτασιρᾶ: in der Folge merke ich Aehnliches selten an | 35 ἀσυρίασ m[1], von erster Hand verbessert | 37 ἀρτασιρὰν | 37 σασαμίκαν m, nach ساسانیکان Սասանական von mir geändert | 38 βασιλεῖς L, καὶ βασιλέων m | 39 αὕτη L, ἀυτὴ B, ἀυτὴν m | 40 ἠγνοῆτο | 41 ἀπείτω | 42 θάρρει schwärzer auf Rasur, erster Hand | 43 βούλει m, Punkt über ει, keine Anmerkung. βούλης B | 51 οὕτωσ· ὁρᾶτο | 56 τεχθέντων | 61 ἀλαζωνίαν | 62 am letzten α von ἁρπάζοντασ ist schwarz nachgezogen | 62 ἐνκαυχῶνται | 63 παύωνται

μήσωμεν πρὸς παράταξιν· κρεῖττον γὰρ θανεῖν ἢ εἶναι δοῦλοι δεσπότου ἀδικοῦντος. ταῦτα μὲν Ἀρτασίρας.
7[1] 6 | οἱ δὲ τῶν Περσῶν ἄριστοι ἐδέξαντο τὰ εἰρημένα· ηὔχοντο γὰρ ἀπαλλάττεσθαι μὲν τῶν Πάρθων, ἐκ δὲ τοῦ οἰκείου γένους εἶναι βασιλέα τῶν Περσῶν. καὶ πρὸς Ἀρτασίραν ἐροῦσιν Σὲ ἀρχηγὸν καὶ λόγων καὶ πράξεων ἔχομεν, πεῖραν τῆς σῆς ἀγαθῆς γνώμης λαβόντες, ἐνάρετόν τε πολιτείαν εἶναι ἐν σοὶ ἐπιστάμενοι. ὃ οὖν βούλει πράττων, ἡγεμόνευε, ἡμεῖς δὲ ἑπόμεθα τοῖς σοῖς λόγοις, πράξοντες ὅσα εἰς λυσιτέλειαν ἀμφοτέροις ἐστίν. ἡμέρας οὖν γενομένης καὶ πρὸς πόλεμον ἀπιδόντες οἱ Πέρσαι ἅμα Ἀρτασίρᾳ τῷ ἀρχηγῷ αὐτῶν, πρέσβεις πρότερον ἀπέστελλον πρὸς τὸν βασιλέα Ἀρταβάνην Ζηκᾶν καὶ Καρινᾶν, μεγίστους γενεάρχας καὶ στρατηγούς, οἵτινες ἀπελθόντες ἔστησαν ἐναντίον τοῦ ἀρχιβασιλέως.
7[2] ἀρχὴ δὲ τῶν λόγων αὐτῶν ἦν αὕτη· | Ἡμεῖς πρέσβεις Περσῶν, καὶ εἰ ἡμερωτάτη γνώμη τοὺς παρὰ Περσῶν δέξασθαι λόγους, λέξομεν καὶ οἷα πρέσβεις λόγους ἐπαγγέλλειν πολλούς, φόβου καὶ κινδύνου ἔξω ὑπάρχοντες, τοῦτο καὶ τοῦ νόμου κελεύοντος ὃν τεθείκασιν οἱ πάλαι ἄριστοι, ἀπαθεῖς τοὺς στελλομένους πρέσβεις φυλάξαντες. εἰ οὖν συγχωρεῖς, βασιλεῦ, ἐροῦμεν. Ἀρταβάνης δὲ ὁ βασιλεὺς ἐδίδου αὐτοῖς χώραν λέγειν ὅπερ βούλονται.

7 ἤρχοντο δὲ τοῦ λόγου λοιπὸν οὕτως· Ὦ βασιλεῦ, ἔστιν παρ' ἡμῖν τοῖς Πέρσαις μελέτη τὸ τοῖς βασιλεῦσιν ὑποτάσσεσθαι, οἷα τοῦ βασιλέως δεσπότου τυγχάνοντος πάντων, αὐτὸν δὲ τὸν βασιλέα εὐνομίᾳ καὶ δικαιοσύνῃ τὰ πράγματα κυβερνᾶν, ἔξω βαρβαρικῆς φρονήσεως πολιτεύεσθαι, καὶ ἀντιπάλοις μὲν φοβερὸς
8[1] φαίνεσθαι, ὑπηκόοις δὲ εὐνοϊκός. πῶς γὰρ | οἷός τε ἐστὶν κωλύειν ἀδικοῦντας, εἴπερ αὐτὸς ἀπάρχεται ἀδικίας; πῶς τιμωρεῖται τοὺς δεινὰ πράττοντας, αὐτὸς πρόχειρος εἰς τὰ πλημμελήματα; ἡμεῖς πεῖραν τῶν σῶν δεινῶν εἰληφότες, τῆς σῆς βασιλείας ἑαυτοὺς ἐστερήσαμεν, οὐ μισοῦντες ὑποταγῆναι, ἀλλὰ παράνομον βασιλέα φεύγοντες, οὐ τυραννοῦντες, ἀλλὰ τυραννικὴν γνώμην μὴ φέροντες. ταῦτα τῶν Περσῶν τὰ ῥήματα. ὁ δὲ βασιλεὺς Ἀρταβάνης πλείστας ὥρας κλίνας τὴν κεφαλὴν καὶ θεωρῶν εἰς τὸ ἔδαφος, προεώρα τὴν μέλλουσαν ἔκπτωσιν τῆς οἰκείας βασιλείας, καὶ ἀποβλέψας πρὸς τοὺς σταλέντας λέγει Ἐγὼ τῆς ὕβρεως ταύτης αἴτιος, τοὺς μὲν ἀρχαῖς καὶ ἐξουσίαις τιμήσας, τοὺς δὲ πλουτεῖν παρεσχηκώς, πολλοὺς δὲ δωρεαῖς βασιλικαῖς καὶ ἀγρῶν καὶ κτημάτων κυρίους κατα-
8[2] στήσας. ὑμεῖς δὲ χω|ρεῖτε πρὸς τὸ βουλευθὲν παρ' ὑμῶν, ὄψεσθε δὲ μὲ πρὸς τὰς ὑμετέρας γνώμας μεταρρυθμιζόμενον. διδάξω ὑμᾶς μὴ ἀνθίστασθαι βασιλεῖ. οἱ δὲ σταλέντες ὑμεῖς βαδίσατε, μηκέτι τοιούτων λόγων ὑπουργοὶ γινόμενοι, μήπως ὑμᾶς πρώτους τῆς ἐμῆς ὕβρεως δίκας ἀπάρξωμαι.

8 ταῦτα ἀκούσαντες Ζηκᾶς καὶ Καρινᾶς ἐπορεύοντο εἰς τὸ συνέδριον τῶν

72 βόλη | 72 Interpunction aus m | 74 ἀφιδόντες | 76 ἀρχηβασιλέως | 77 ἡμεροτάτη | 78 λέξωμεν | 79 ἐπαγγέλλων m, wo ω unterm Schreiben aus ο | 80 τεθήκασιν | 80 ἄριστοι | 81 συγχωρῆς | 87 εὐνόηκον | 87 ται [für τε] erster Hand über εστι? | 87 σ von ἀδικοῦντας später über der Zeile | 89 πρόσχειρος m, das frühere σ jetzt radiert | 93 Punkt über dem ersten ω von θεωρῶν: keine Anmerkung | 98 μεταρυθμιζόμενον | 100 ἀπάρξομαι

Περσῶν. καὶ ἐλθόντες ἀπήγγειλαν ἅπαντα τῷ τε Ἀρτασίρᾳ καὶ τοῖς λοιποῖς ἀρί-
στοις τῶν Περσῶν, προστεθεικότες τοῖς εἰρημένοις καὶ τὴν μανίαν τοῦ βασιλέως
ὡς μηκέτι ἀναμένοντος αὐτοῦ δευτέραν ἀπαγγελίαν, ἀλλ' ὁπλιζομένου κατὰ τῶν
τῆς βουλῆς ἀρχηγῶν. ὁ δὲ Ἀρτασίρας πέμψας πρὸς Ἀρταδούκταν ἔφερεν, καὶ ἐν
ὀχυρωτάτῳ καστέλλῳ ταύτην καθιστᾷ ἅμα τοῖς οἰκείοις πράγμασιν, αὐτὸς δὲ
ὡπλίζετο | μετὰ Περσῶν καὶ Ἀσσυρίων κατὰ τοῦ ἀρχιβασιλέως Ἀρταβάνου. $9^1$
αἰσθόμενος δὲ Ἀρταβάνης τῆς κατ' αὐτοῦ παρασκευῆς, ὡπλίζετο καὶ αὐτὸς μετὰ
Πάρθων, ἔχων καὶ οὐκ ὀλίγους Πέρσας, μὴ κεκοινωνηκότας τῇ τῶν ὁμοφύλων
βουλῇ. πρώτῃ δὲ προσβολῇ πολεμήσαντες πρὸς ἀλλήλους Πέρσαι τε καὶ Πάρ-
θοι, ἐξ ἑκατέρου μέρους πλεῖστοι ἔπιπτον. ἐπικρατέστερος δὲ ἐγίνετο Ἀρτασί-
ρας, πλείστων καὶ ἑτέρων χωρισθέντων μὲν Ἀρταβάνου, προστεθέντων δὲ Ἀρ-
τασίρᾳ. ἐν δευτέρᾳ δὲ παρατάξει ὁρμήσαντες κατ' ἀλλήλων, πλείστους ἀνήλι-
σκον ἐκ τῶν Πάρθων, εἰς φυγὴν δὲ πρὸς βραχὺ ἐτρέπετο ὁ βασιλεὺς Ἀρταβάνης,
πάλιν πρὸς πόλεμον εὐτρεπὴς γιγνόμενος. δύο οὖν καὶ δέκα μῆνάς που ῥοχή
συναντώντων πρὸς ἀλλήλους, πῇ μὲν πολεμούντων, πῇ δὲ ἀναπαυομένων, εἰς ὕστε-
ρον δὲ αὖθις πρὸς μάχην ἰδόντες ἔφθασαν εἰς τὸ χωρίον τῆς παρατάξεως.

**9** καὶ φησὶ πρὸς τὸν βασιλέα | Ἀρτα- $9^2$
βάνην Ἀρτ[ασίρ]ας μ τεσ ἑ ῶ βασι αρ εχ ου γὰρ οἷός τε ̈ φ....
σθαι μὰ [κ]ατὰ σοῦ καὶ κύριος ὑπάρχω. δίδου ἐμοὶ ἑκὼν
τὸ στέμμα φορεῖν. προσδωρή[σ]ομα[ί σοι] χώραν μίαν ἐν ᾗ βιώσεις καλῶς.
μέμνησο δὲ τῶν σῶν ῥημάτων, ἡνίκα εἴρηκας τῇ βασιλίσσῃ, ἀποβλέψας εἰς τοὺς
δρόμους τῶν ἀστέρων. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἡμεῖς ἀκούσαντες
ὡρμήσαμεν, ἐπιστάμενοι τὴν μὲν ἐμὴν νίκην, σὴν δὲ ἀπώλειαν. χώρει εἰς
τὸ [κα]θῆ[κον]. Ἀρταβάνης δὲ πρὸς τοὺς οἰκείους ανορεν καὶ ς
ἀποβλέψας ὡς χ ρησι λέγει δεδ ́ υο [οὐ]κέτι γυναικὶ μήτε
ἀγαθὸν μήτε φαῦλον λέγειν τινὰ τῶν [δορυ]φόρων λέγειν
εῖν [τὴν] βασίλισσα[ν]. προδέδωκέ με λτωσμαι
εἰ ἀγνοουμένης τῆς Ἀρτα|δούκτας. αὐτὸς δὲ ὁ βασιλεὺς Ἀρταβάνης ἔλεγε πρὸς $10^1$
Ἀρτασίραν Οὐχ οἷός τε εἰμὶ τῆς ἐμῆς βασιλείας ἔτι ζῶν ἔξω γενέσθαι, οὐδὲ
δουλεύειν σοι, τὸ μέχρι τῆς σήμερον δούλῳ μου ὑπάρχοντι. θανεῖν [δὲ] ἀναγ-

3 προστεθηκότεσ | 5 ἤφερεν | 6 ὀχυρωτάτου: schwacher Versuch, τω aus του herzustellen | 7 ὁπλίζετο | 7 ἀρχηβασιλέωσ | 8 ὁπλίζετο | 9 κοινωνικότασ | 10 πέρσε, aber (vielleicht erster Hand) αι über dem Schlusse | 15 m hat nicht δὲ, auch nichts dafür | 15 πρὸσ ist nicht ganz sicher zu lesen | 15 μήναισ | 15/16 που ῥοχή συναντώντων nicht sicher zu lesen, παροχησάντων B | 18 schon Seite $9^1$ ist schwer zu lesen, $9^2$ $10^1$ sind so verblaßt, daß der Mann, dessen Abschrift von Stilting benutzt worden ist, gar nicht den Versuch gemacht hat, sie zu entziffern. Ich gebe was ich erkannt zu haben meine, und werde am Ende der Abhandlung die beiden Seiten Zeile für Zeile abdrucken heißen: hier hat der Setzer seine Sache schlecht gemacht. Die Paragraphenzahl steht bei Stilting vor ὁμολογήσας meiner Zeile 38 | 19 ἀρτ . . . . ᾶσ | 19 τε von τεσ unsicher | 19 nach ἑ vielleicht α | 19 vor φ vielleicht ν | 20 [κ]ατα ohne Accent | 21 βιώσησ | 24 ὁρμήσαμεν | 25 καθῆκον paßt mir nicht recht, aber ich weiß nichts Besseres | 25 ου von οἰκείουσ ganz unsicher, sieht fast wie α aus | 25 αν von ανορεν unsicher | 27 τῶν mit Sigle geschrieben | 28 τ von λτωσ unsicher

καῖον ἢ ίαν πράττειν. ὥρμησεν κατὰ Περσῶν
τε. καταβαλὼν δὲ πρὸς Ἀρτασίραν τὸ δόρυ θύ-
μως. ὁ δὲ Ἀρτασίρας τέχνῃ τῇ αρι γειν
ος τοῦ πλὴν ραμ ρα νησ
ὁ δὲ συ ουστος πέμψαντες πρέσβεις πρὸς
Ἀρταβάνην ἀρ κα ανακ χαρ
10[2] εμ | ὁμολογήσας ἅμα αὐτῇ ἐβασίλευσεν τῶν τε περιλειφθέντων Πάρθων,
Περσῶν τε καὶ Ἀσσυρίων, πάντα πράττων ἐπιεικῶς, εὐνομίᾳ χαίρων καὶ πολι-
τείᾳ δικαιοτάτῃ. ἔσπευδε γὰρ ἐπαίνους κομίζεσθαι, οἷα ἐξ ἀδοκήτου Περσῶν
βασιλείας ἐπιβάς. τὰ δὲ συμβάντα ταῦτα ἀπηγγέλλετο Χοσρόῃ τῷ Ἀρσακίδῃ βασι-
λεύοντι τῆς μεγάλης Ἀρμενίας, ὡς τοῦ παιδὸς Σασάνου Ἀρτασίρα κρατήσαντος
τῆς Περσῶν βασιλείας, ἀπολέσαντός τε Ἀρταβάνην τὸν αὐτοῦ ἀδελφόν. προσε-
τίθει δὲ τοῖς ἀπαγγελλομένοις ὅτι καὶ Πάρθοι χαίρουσιν μᾶλλον τῇ βασιλείᾳ
29 Ἀρτασίρα ἢ τοῦ οἰκείου προσυγγενοῦς. ‖ ἐπειδήπερ ἐξέλιπεν ὁ χρόνος τῆς τῶν
Πάρθων βασιλείας, καὶ περιῃρέθη ἡ τοῦ Ἀρταβάνου υἱοῦ Οὐαλερίου δεσποτεία,
ἀποκτανθέντος ὑπὸ Ἀρτασίρου υἱοῦ Σασάνου, οὐκέτι οὐδὲ ἐπὶ χρόνον μικρὸν
11[1] σταθῆναι ἴσχυσεν. οὗτος ὁ Ἀρτασίρας τῆς τῶν Σταχριτῶν πατρίδος σατρά|πης
ὑπῆρχεν, ὃς παραγενάμενος, συναθροίσας τε καὶ συνενώσας τοὺς τῶν Περσῶν
στρατοπεδάρχας, ἐποίησεν ἀθετῆσαι καὶ ἀπώσασθαι τὴν Πάρθων βασιλείαν, εὐ-
δοκήσαντας καὶ πεισθέντας μᾶλλον ἑλέσθαι τὴν αὐτοῦ δεσποτείαν. ἐπειδὴ οὖν
μετὰ θάνατον τοῦ Ἀρταβάνου τοῦ ἀποκτανθέντος ὑπὸ τοῦ Ἀρτασίρου υἱοῦ Σα-
30 σάνου κατέλαβεν ἡ ἀγγελία αὕτη πρὸς τὸν Κου‖σάρω βασιλέα Ἀρμενίας, ἀδελ-
φὸν δὲ Ἀρταβάνου, ὃς ἦν δεύτερος τῆς δεσποτείας Πάρθων, ὁ μὲν τῶν Ἀρμενίων
βασιλεὺς τῆς τῶν Πάρθων δεσποτείας δεύτερος ὑπῆρχεν, καίτοιγε ὅμως καὶ ἐν
τάχει ἀκούσας τὴν λυπηρὰν ἀγγελίαν καὶ στρατοπεδευσάμενος οὐκ ἔφθασεν εἰς
τὸν ῥυθμὸν τῆς παρατάξεως. ἅμα τε ἔφη οὖν μετὰ πλείστης λύπης ἐπὶ τῇ γε-
11[2] νομένῃ συμφορᾷ, καὶ μάλιστα διὰ τὸ μὴ φθάσαι | αὐτὸν τὸ ἔργον τοῦ πολέμου
ποιῆσαι.
II 10 ἀνακάμψας δὲ ἐπέρασεν εἰς τὴν ἰδίαν πατρίδα. καὶ ἐν τῷ ἐπιόντι ἐνι-
αυτῷ ἤρξατο ὁ αὐτὸς Κουσάρων ὁ τῶν Ἀρμενίων βασιλεὺς στρατιὰν συναθροί-
ζειν, καὶ συγκαλεῖν τὴν τῶν Ἀλβανῶν καὶ Ἰβήρων στρατοπεδαρχίαν, ἀνοῖξαι δὲ
καὶ τὰς κλεισούρας τῶν Ἀλανῶν καὶ τοῦ λεγομένου Καιζουάρου πύργου. ἐκ-
βάλλει τε τὰ τῶν Οὔννων στρατεύματα, ὥστε ἐπιδραμεῖν τοῖς τῆς Περσίδος
μέρεσιν, καταλαβεῖν τε καὶ τὰ κλίματα τῆς Ἀσσυρίας ἕως τῶν Κασπίων λεγο-
31 μένων πυλῶν, πραιδεῦσαί τε καὶ εἰς ἀφανισμὸν μεταθεῖναι τὰς ἐν ἡσυχίᾳ καὶ εὐαν-
θείᾳ πόλεις τε καὶ κωμοπόλεις καθισταμένας. ἐσπούδαζεν γὰρ ἐνθυμούμενος

32 ὅρμησεν | 32 Περσ von Περσῶν unsicher | 33 ἀρτασιρᾶν | 34 ἀρτασιρᾶσ | 39 εὐνομεία | 40 δικαιω-τάτῃ | 41 χοσ von Χοσρόῃ ist lesbar, ροῃ am Ende einer Zeile ist es nicht: fast meint man ροα zu erkennen | 41 αρσαδίκῃ: ob vorne ἀ oder ἁ steht, entscheide ich nicht | 44 χαίρουσι ἢ μᾶλλον | 45 ἐξέ-λειπεν | 46 περιηρεθῃ m? περικράτει B, ἐπήρθη ℵ?? | 47 μακρὸν | 57 ἔφει | 62 ἠβήρων | 63 erstes σ von κλει-σούρασ aus π (alter Form) zurecht radiert | 63 καίζουάρου | 64 ὄυννῶ erster Hand auf Rasur | 65 τὰ später über der Zeile | 65 für Κασπίων ℵ Κτησιφῶντος ohne λεγομένων | 66 πρεδεῦσαι | 66/67 εὐανθία | 67 καθιστάμενοσ m[1]

καὶ τὸν νόμον ἐξᾶραι τῆς τῶν Περσῶν δεσποτείας εἰς τέλος, ἐκδίκησιν λαβεῖν
ἐπειγόμενος τῆς ἐκπτώσεως τῆς δεσποτείας τοῦ ἀδελφοῦ. | μεγάλην δὲ ἔχων μῆ- 12[1]
νιν, καὶ πεπληγὼς ἀμέτρῳ ζήλῳ τὴν καρδίαν, ὑψηλὰ ἐφρόνει, θαρρῶν τῷ τῆς
στρατιᾶς πλήθει καὶ τῇ ἀνδρείᾳ τῶν συμμάχων. τότε οὖν ἐν τάχει εἰς βοήθειαν
ὁμοῦ πάντες ἔφθασαν μετὰ ἀπείρου πλήθους καὶ ἀνδρειοτάτων ἱππέων καὶ ἰσχυ-
ρᾶς ἑτοιμασίας, Ἀλβανοί, Λιφίννιοι, Σιλβανοί, Κασπῖται καὶ ἄλλοι ἐκ τῶν αὐτῶν
μερῶν, ὅπως τὴν ἄμυναν τοῦ Ἀρταβάνου αἵματος ἐπιζητήσωσιν· καὶ γὰρ ἐν με-
γίστῃ λύπῃ ὑπῆρχεν διὰ τὴν φυσικὴν ἀδελφότητα τοῦ ἀναιρεθέντος καὶ τὴν αὐ- 32
τοῦ συγγένειαν τὴν ὁμοθυμαδὸν ὑποταγεῖσαν τῶν ἐπαρθέντων Σταχριτῶν, καὶ
μάλιστα, ὅτι καὶ ἀποστείλας ἦν ὁ Κουσάρω πρέσβεις, ἵνα οἱ συγγενεῖς εἰς βοή-
θειαν παραγένωνται, ἀνθιστάμενοι τῇ νεωστὶ βασιλείᾳ, καὶ χεῖρα ὀρέξωσιν εἰς
συμμαχίαν. ὅμως οἱ συγγενεῖς φύλαρχοι καὶ σατράπαι καὶ ἔξαρχοι Πάρθων
οὐχ ὑπήκουσαν. | πεπεισμένοι γὰρ καὶ εὐδοκήσαντες καὶ ὑποταγέντες ἦσαν ἢ τῇ 12[2]
τῶν ὁμογενῶν δεσποτείᾳ ἢ ἀδελφότητι.

11 πλὴν ὅμως λαβὼν ὁ Κουσάρω τὸ πλῆθος τοῦ ἰδίου στρατοπέδου καὶ
τοὺς προσηλύτους λίαν ἐμπειροπολέμους, ἐπέβη τῇ Περσίδι. θεωρήσαντος δὲ τοῦ 33
τῶν Περσῶν βασιλέως τὸν ἀμύθητον ὄχλον τοῦ στρατεύματος, ὅτι ἐν βαρυτάτῃ
δυνάμει ὁρμήσαντες ἐπέφθασαν αὐτόν, ἐξῆλθεν καὶ αὐτὸς εἰς ὑπάντησιν ἀκου-
σίως ἐν ἑτοιμασίᾳ πολέμου, καὶ ἀντιπίπτειν μὴ ἰσχύσας, νῶτα διδούς, φυγὰς ἔμ-
προσθεν αὐτῶν ἐγίνετο. οἱ δὲ πολέμιοι καταδιώξαντες κατέστρωσαν τὴν Περσῶν
πᾶσαν στρατιάν, κἀν ταῖς πεδιάσι καὶ ταῖς ὁδοῖς περιεσκόρπισαν ἄπειρον τῶν
κατακοπέντων καὶ τεθνηκότων πλῆθος. ὁ δὲ βασιλεὺς τῆς Ἀρμενίας ἀναζεύξας
ἐν μεγίστῃ νίκῃ καὶ πλήθει χρημάτων μετὰ πολλῆς θυ|μηδίας διαβαίνει εἰς τὰ 13[1]
μέρη τῆς Ἀρμενίας. παραγενάμενος δὲ ἐν τῇ πατρίδι Ἀραρὰτ καὶ πόλει ἥτις
καλεῖται Οὐαλεροκτίστη, παρακελεύεται ἀγγέλους ἀποσταλῆναι διαφόροις μέ- 34
ρεσι, καὶ γράμματα καταπεμφθῆναι, πρὸς τὸ ἀναθήματα γίγνεσθαι τοῖς ἑπτὰ ἱε-
ροῖς τοῖς ἐν τῇ ἰδίᾳ αὐτοῦ ἐξουσίᾳ ὑπάρχουσιν, καὶ πέμπει λευκοὺς ταύρους καὶ
λευκοὺς τράγους καὶ ἵππους λευκοὺς καὶ ἡμιόνους λευκούς, χρυσᾶ καὶ ἀργυρᾶ
σκεύη καὶ λίθους τιμίους καὶ πολυτελέστατον ἱματισμὸν ἐξ ὧν τε εἶχεν καὶ ἀπὸ
τῶν αὐτοῦ συγγενῶν εἰς τιμὴν καὶ κόσμον τῶν σεβασμίων αὐτοῦ τόπων, ἀπὸ πάν-
των τῶν σκύλων τὸ πέμπτον εἰς αὐτοὺς ἀφορίσας, πολλά τε δῶρα τοῖς ἱερεῦσιν
ἐχαρίσατο, τοῖς δὲ στρατεύμασι τοῖς περὶ αὐτὸν παρασχὼν δωρεάς, ἀπέλυσεν.

12 πάλιν δὲ ἐν τῷ ἐπιόντι ἐνιαυτῷ στρατιὰν συναθροίσας Κουσάρω ὁ
τῶν Ἀρμενίων | βασιλεύς, καὶ τὴν αὐτὴν συμμαχίαν ‖ ἀνακαλεσάμενος ἢ καὶ 35 13[2]
πλείονα τῆς προτέρας, ἐπέδραμεν εἰς τὰ μέρη τῆς Συρίας. συνεβάλοντο δὲ αὐτῷ

69 ἐπιγόμενοσ | 69/70 μίνιν | 71 στρατείασ | 72 ἀνδριωτάτων | 74 ἐπιζητήσουσιν | 76 ὑποτάγῆσαν, wo der Acut später getilgt ist | 76 σταχριςῶν, aber σ aus ς jetzt wegradiert | 78 ἀνθισταμένη | 78 τὴν ἔωστῆ m[1], daraus τὴν εωστῆ m[2] | 78 ὀρέξουσιν | 79 συμμάχειαν | 80 πεπισμένοι | 82 πὴν | 88 στρατίαν | 88 περιεσκόρπησαν | 91 πατρίδη | 93 ρ von πρὸς alt auf was? | 98 σκυλῶν | 99 ἐχαρήσατο: über η scheint ein jetzt durch den Acut verdecktes ι zu stehn | 100 στρατίαν | 100 κουσαρῶ | 2 hinter πλείονα scheint über der Zeile ein kleines σ zugeschrieben | 2 συνελάβοντο m[1]

καὶ αἱ τῶν Σαρακηνῶν στρατιαὶ πρὸς συμμαχίαν. σκυλεύσας δὲ καὶ τὸ δεύτερον. ἐν ἐπαίνῳ ὑπέστρεψεν εἰς τοὺς αὐτοῦ τόπους. καὶ τοῦτον τὸν τρόπον ἐφεξῆς ἐπὶ δέκα ἔτη τὴν ὑποτεταγμένην τῷ Περσῶν βασιλεῖ κατέστρεφεν ἐξουσίαν. ταῦτα οὖν θεασάμενος ἅπαντα τὰ κακὰ ὁ τῶν Περσῶν βασιλεὺς κατειληφότα αὐτόν, συνεχύθη σφόδρα καὶ διηπορεῖτο ἐν ἑαυτῷ. προσκαλεσάμενος δὲ πάντας τοὺς βασιλεῖς καὶ τοπάρχας καὶ στρατηγοὺς τῆς ἰδίας δεσποτείας, συμβούλιον λαμβάνει. παρακαλῶν πάντας λύσιν τῶν κακῶν εὑρεῖν, ὑπισχνεῖτο δὲ καὶ
36 μείζονας δωρεὰς τῷ δυναμένῳ ἐκδίκησιν εἰσπρᾶξαι, ἐπαγγελλόμενος ἐν τῷ δευ-
11¹ τέρῳ ἀξιώματι τῆς ἰδίας δεσποτείας κατατάττειν αὐτόν, λέγων | ὅτι Εἰ καὶ πάνυ τις τῶν ὑποδεεστέρων τύχοι, πλὴν τοῦ ἐμοῦ θρόνου πρώτου φανέντος, παρ' αὐτῶν τὴν ἴσην μετ' ἐμὲ ἐχέτω τιμήν.

13 τότε τις ἐκ μέσου τοῦ συνεδρίου ἐπιφανέστατος ἐθνάρχης τῆς τῶν Πάρθων δεσποτείας ᾧ ὄνομα Ἀνάκ, ἐκ τῆς συγγενείας Κουσάρω τοῦ βασιλέως, ἀναστὰς εἰς μέσον παρῄει, καὶ ἐκ τοῦ ἰδίου συγγενοῦς ὡς παρὰ ἐχθροῦ ὑπέσχετο ἐκδίκησιν λαβεῖν. ἀρξάμενος δὲ ὁ τῶν Περσῶν βασιλεὺς διαλέγεσθαι αὐτῷ, φησίν· Ἐάν μοι ταύτην τὴν ἐκδίκησιν ὁλοψύχως ἐκζητήσῃς, τὴν ἀπ' ἀρχῆς προγονικὴν ὑμῶν ἐξουσίαν ὑμῖν ἀναδώσω, καὶ σοὶ περιθεὶς διάδημα, ὑπερδοξάσω, καὶ
37 ἐπιφανέστατον καὶ ἐνδοξότατον τῶν ἐν τῇ ἐμῇ βασι||λείᾳ ποιήσω, καὶ δεύτερός μου κληθήσῃ. ἀποκριθεὶς δὲ ὁ Πάρθος Ἀνὰκ εἶπεν Τὸ κατάλειμμα τῆς ἐμῆς συγγενείας εὖ ποιήσας τιμήσῃς· ἐγὼ γὰρ καὶ ὁ ἐμὸς γνήσιος ἀδελφὸς σήμερόν
14² σοι συντασσόμεθα, εἰ καὶ ἀπαλλαττόμεθα· | ἐπ' ἀδήλῳ γὰρ πρόκειται τὸ ὑπ' ἀλλήλων ἔτι θεαθῆναι. τότε οὖν ἕτοιμος γενόμενος ὁ Πάρθος μετὰ καὶ τοῦ ἰδίου ἀδελφοῦ σὺν γυναιξίν τε καὶ παισὶν καὶ τῇ λοιπῇ ἀποσκευῇ ἐξῆλθεν, ἀντάρτου σχῆμα ὑποκρινόμενος, καὶ ἤρχετο εἰς τὰ μέρη τῆς Ἀρμενίας, ὡς ἀποστατήσας τοῦ Περσῶν βασιλέως, προσκεχωρηκὼς δὲ Κουσάρω τῷ τῆς Ἀρμενίας βασιλεῖ.

14 παρεγένετο οὖν ἐν αὐτῇ τῇ πατρίδι καὶ Χαλχαλ πόλει λεγομένῃ, ἐν παραχειμερίοις τόποις τῶν τῆς Ἀρμενίας βασιλέων. θεασάμενος δὲ αὐτὸν ὁ βασιλεὺς μετὰ πλείστης φιλοτιμίας ἀπεδέξατο, μάλιστα, ὅτι ὑποκρινόμενος, δολερῶς
38 συνομιλεῖν αὐτῷ ἤρξατο, καὶ τῆς ἰδίας παρουσίας τὴν πίστιν ἀπεδείκνυτο λέγων Διὰ τοῦτο πάρειμι, ἵνα συμφώνως ὑπὲρ ἀμφοτέρων ἡμῶν ἐκδίκησιν εἰσπρᾶξαι δυνηθῶμεν. ἐπειδὴ οὖν ἐθεώρει ὁ βασιλεὺς τὸν ἄνδρα πρὸς αὐτὸν ὁρμήσαντα σὺν
15¹ πᾶ|σι τοῖς οἰκείοις, ἀδιστάκτως αὐτῷ ἐπίστευσεν, καὶ τότε δίδωσιν αὐτῷ τιμὴν κατὰ τὸν βασιλικὸν νόμον, καὶ ἐπὶ δευτέρου αὐτὸν θρόνου ἀναβιβάσας ἐκάθισεν. πάντα δὲ τὸν τοῦ χειμῶνος καιρὸν καὶ τὰς τῶν δεινοτάτων ἀνέμων πνοὰς ἐν εὐφροσύνῃ ἀναπεπαυμένοι ἦσαν. ἐπειδὴ οὖν ἤκασιν αἱ τοῦ ἔαρος ἡμέραι, πνέοντος τοῦ νότου θερμόν, τῆς θερινῆς θύρας ἀνοιγείσης, ἀπῆρεν ὁ βασιλεὺς ἐξ ἐκείνων τῶν μερῶν, καὶ κατέβη εἰς τὴν λεγομένην πατρίδα Ἀραράτ, εἰς πόλιν Οὐαλερο-

3 στρατίαι | 3 συμμάχειαν | 4 ἀυτοῦ m am Rande, ἰδίους im Texte | 5 τῷ m am Rande, τῶν im Texte | 9 ὑπισχνείτω | 13 ἴσιν | 19 ἀναλώσω | 19 σὺ m = σοὶ | 20 ἐνδοξώτατον | 21 κατάλιμμα | 23 προύκειται | 28/29 παραχημίοισ | 30 m setzt Komma nach δολερῶς | 31 vielleicht ἐπεδείκνυτο gemeint | 35 ἐκάθησεν | 36 τὰς B, τὰ m | 37 ἀιαροσ, ohne Accent | 38 ἀνοιγήσησ

κτίστην. καὶ ὅτε ἐν εὐφροσύνῃ ἀναπεπαυμένοι ἦσαν ὅ τε βασιλεὺς καὶ ὁ Πάρ-
θος, ἐνεθυμεῖτο ὁ βασιλεὺς στρατοπεδεῦσαι πάλιν εἰς τὰ μέρη τῆς Περσίδος. 39
ὁ δὲ Πάρθος ἀκούσας, ἐμνήσθη τοῦ ὅρκου τοῦ πρὸς τὸν Περσῶν βασιλέα, καὶ
τὴν ἰδίαν πατρίδα ἰδεῖν ἐπεπόθει, καὶ τῶν ὑποσχέσεων ἐπιτυχεῖν ἐπίστευεν, | ὡς 15[2]
μέλλων τῆς τῶν Πάρθων ἐξουσίας ἐπικρατεῖν καὶ τὴν προγονικὴν τιμὴν ἀναλαβεῖν.

15 βουλὴν οὖν πονηρὰν σκεψάμενος, λαμβάνει τὸν βασιλέα αὐτός τε καὶ ὁ ἴδιος αὐτοῦ ἀδελφὸς ἰδιαζόντως, ὡς προφασιζόμενοι σκέψιν τινὰ ἀναθέσθαι αὐτῷ, τὰς δὲ ῥομφαίας αὐτῶν ὁλοστόμους παρελκύσαντες ἐκράτουν κρυφαίως. αὐτίκα δὲ ἀπροσδοκήτως τὰς σπάθας ἀνασπάσαντες, ἐπάταξαν τὸν βασιλέα καὶ εἰς τὴν γῆν κατέρραξαν. γνοὺς δέ τις εὐθέως τὸ γινόμενον πρᾶγμα, ἐκέκραγεν ὀλολυγμῷ μεγάλῳ, καὶ ὡς ὧδε καὶ ὧδε αὐτοὶ ἐπιβάντες τοῖς ἰδίοις ἵπποις, φυγάδες ἐγέ-
νοντο. καὶ τοῦτο μαθόντες οἱ σατράπαι τῶν Ἀρμενίων νουμέραρχοι, διε||μερίζοντο 40
ὀπίσω αὐτῶν καταδιώκοντες. καὶ προδραμόντες τινὲς προκατελάβοντο τὴν διαβά-
θραν ἐπὶ πύλαις Ἀρταξὰτ τῆς πόλεως. ὁ γὰρ ποταμὸς Ἐρα|σὰχ πλημμυρῶν 16[1]
μέχρι τῆς κρηπῖδος ἔρρεεν ἐκ τῆς λυθείσης χιόνος σὺν τῷ κρυστάλλῳ, οἰδαίνων καὶ ἀναβλύζων, ἐν ταῖς ἡμέραις ὢν τῆς αὐτοῦ ἀναθολώσεως. ἄλλοι δὲ περάσαντες τὴν γέφυραν Οὐαλεροκτίστης τῆς πόλεως, καὶ τὴν διαβάθραν τοῦ λεγομένου ποταμοῦ Βάθεος, συνέδραμον καταλαβεῖν τὰς διαβάσεις τῆς προκειμένης πόλεως Ἀρταξάτης, καὶ ἐν τοῖς στενοῖς περικυκλώσαντες τοὺς φυγάδας ἐν μέσῳ τῶν γεφυρῶν ἔνθεν καὶ ἔνθεν ποταμοῦ, βρυχίους πεποιήκασιν. αὐτοὶ δὲ ἀναστρέψαντες, ὀλολυγμοῖς καὶ κραυγαῖς καὶ ἐλεειναῖς φωναῖς σὺν πάσῃ τῇ χώρᾳ συναχθέντες τὸν βασιλέα ἐθρήνουν. ἔτι δὲ μικρὰν ἐκεῖνος θέρμην ὑπὸ τὰ στέρνα ἀναπνέων, τῆς τελευταίας πνοῆς αὐτῷ φθασάσης, ἐκέλευσεν τὴν συγγένειαν αὐ-
τῶν πᾶσαν ἐξολο||θρεῦσαι, καὶ μηδ᾽ ὅλως καταλιπεῖν ἀπὸ νεανίσκου καὶ τοῦ μὴ 41
γινώσκοντος δεξιὰν ἢ ἀριστεράν. ἀλλὰ καὶ τὴν θηλείαν γονὴν ἐξηφάνισαν ἐν τοῖς | ξί- 16[2]
φεσιν. πλὴν δύο μικρότατα παιδία ἐκ τῶν υἱῶν τοῦ Πάρθου διασώσας τις τῶν ἐγγυτάτων, περιεποιήσατο μετὰ τροφῶν καὶ ἐκφυγεῖν πεποίηκεν, ἕνα μὲν εἰς τὰ μέρη τῆς Περσίδος, τὸν δὲ ἕτερον ἐν τοῖς ῥωμαϊκοῖς τόποις.

16 καὶ ἐγένετο, ὡς ἤκουσεν ταῦτα πάντα ὁ βασιλεὺς τῶν Περσῶν, θυμηδίας ἐπλήσθη, καὶ μεγάλην πανήγυριν ἐπετέλει ἐκείνην τὴν ἡμέραν, καὶ πλεῖστα χαρίσματα τοῖς ἱεροῖς ἐδωρεῖτο τῶν δαιμόνων. ἐπιστρατοπεδεύσας καταλαμβάνει τὴν τῆς Ἀρμενίας μεγάλην χώραν, καὶ πᾶσαν ἡλικίαν ὁμοῦ αἰχμαλωτίσας, κατὰ κράτος

53/54 Iosue 3, 15 4, 18 | 64 Ionas 4, 11

43 ἐπεπόθη | 43 ὑποσχέ σεων mit Lücke für Einen Buchstaben | 46 ἰδιάζοντοσ | 47 ὁλοστόμ..σ, aber ου über der Zeile über der Rasur | 47 κρυφέωσ | 47 κ von αὐτίκα erster Hand auf ο oder σ | 48 σ von τὰς erster Hand über der Zeile | 50 m Komma vor αὐτοὶ | 51 ἐσατράπαι m = οἱ σατράπαι | 51 νουμέναρχοι. ich ändere nach HEstienne unter dem Worte, der die Verantwortung zu tragen hat: ℵ entscheidet nichts | 52 προκατέλαβοντο accentuiert m | 54 ἔρεεν | 54 λυθήσησ | 54 τῶ erster Hand aus τῆι | 55 ἀναθωλώσεωσ | 56 διάβαθραν | 57 βάθεοσ m: ℵ 40, 12 Μεςαμωρ | 59 ο von αὐτοὶ alt über was? | 60 καυγαῖσ m[1], von erster Hand verbessert | 63 καταλοιπεῖν. | 67 περσίδοσ erster Hand auf Rasur | 70 ἐπιστρατοπαιδεύσασ | 71 nicht μεγάλης m

εἷλεν αὐτήν. διασωθεὶς δὲ εἷς, περιεσώσατο ἐκ μέσου τῆς αἰχμαλωσίας ἕνα τῶν
42 υἱῶν τοῦ βασιλέως Ἀρμενίας Κουσάρω, οὗ μικρότατον παιδίον, ᾧ ὄνομα Τιρι-
δάτης, καὶ παραδοὺς παιδαγωγοῖς ἐφυγάδευσεν εἰς τὰ μέρη Ῥωμανίας ἐν τῷ
τοῦ Καίσαρος παλατίῳ. τὴν μὲν οὖν Ἀρμενίων χώραν ὁ βασιλεὺς Περσίδος πε-
17[1] ριελὼν ἰδιοποιεῖτο, καὶ ἐπὶ τῷ ἑαυτοῦ ὀνόματι τοῦ τόπου ἐκάλει. τοὺς ἐγκαθέ-
τους στρατηγοὺς ἐξεδίωκεν ἕως τῶν ὁρίων Ῥωμανίας, καὶ τάφρους πεποιηκώς,
ὅρια ἔστησεν· τὸν δὲ τόπον ὠνόμασεν Φοσέων πύλας, ἔνθα πάλαι ἐκαλεῖτο τό-
πος χάσματος. παραγενάμενος οὖν Τιριδάτης ἐκάθισεν παιδευόμενος παρά τινι
κόμιτι Λικινιανῷ καλουμένῳ.
17 ὁ δὲ υἱὸς τοῦ Πάρθου ὁ προσπεφευγὼς τοῖς Ῥωμαίων μέρεσιν, ἀνετρέ-
φετο καὶ ἐπαιδεύετο ἐν πόλει Καισαρείᾳ τῆς Καππαδοκίας. καὶ ἐν γνώσει τινὸς
43 Χριστιανοῦ γενόμενος, ἐδιδάχθη τὸν φόβον τῆς τοῦ Χριστοῦ διδαχῆς, καὶ τῆς
θείας παιδεύσεως πάνυ ἔμπειρος ἐγένετο, ὀνόματι λεγόμενος Γρηγόριος. ὡς δὲ
ἔμαθεν περὶ τῶν τοῦ πατρὸς πράξεων τῶν πάλαι γενομένων, ἐξελθὼν ἐπορεύθη
πρὸς Τιριδάτην, αὐτοπροαιρέτως λειτουργῆσαι αὐτῷ. περικρύπτων δὲ ἑαυτόν, καὶ
17[2] μηδὲν ἐκφήνας, ἢ πόθεν ἢ πῶς ἢ ἕνεκεν τίνος εἰς δουλείαν ἑαυτὸν ὑποκλίνας,
ἐν πάσῃ ὑποταγῇ λειτουργεῖν ἐνώπιον αὐτοῦ. καὶ ἐν τοῖς καιροῖς ἐκείνοις ὁ τῶν
Ἑλλήνων ἄρχων τὴν τοῦ θεοῦ ἐκκλησίαν ἐδίωκε, καὶ τότε μανθάνει ὁ Τιριδάτης
περὶ Γρηγορίου ὅτι χριστιανὸς ὑπάρχει. ἤρξατο δὲ τηνικαῦτα ἐπιτιμᾶν αὐτῷ
καὶ διαφόρους ἀγανακτήσεις ἐπιτιθέναι, πολλάκις δὲ ἐν φυλακαῖς καὶ δεσμοῖς
καὶ βασάνοις ἔθλιβεν αὐτόν, καὶ ἀποστῆσαι ἔσπευδεν τῆς τοῦ Χριστοῦ προσκυ-
44 νήσεως καὶ εἰς δουλείαν ὑπεισαγαγεῖν τῆς τῶν ματαίων εἰδώλων βδελυρᾶς λατρείας.
18 ἐν δὲ ταῖς ἡμέραις ἐκείναις στράτευμα συναθροίζει ὁ τῶν Γόθθων ἄρ-
χων, καὶ πολλὴν βοήθειαν συγκομίσας, ἦλθεν πόλεμον στῆσαι μετὰ τοῦ τῶν
Ἑλλήνων ἄρχοντος, καὶ τὸν τρόπον τοῦτον, φασίν, ἀποστέλλει, λέγων αὐτῷ· Ἵνα
18[1] τί ὅλως παράγομεν τοὺς συμμίκτους ἐν τῷ πολέμῳ, καὶ κατακόπτομεν τὰ στρα-
τεύματα, κίνδυνον δὲ ἅμα καὶ ἀνάγκην ταῖς πόλεσιν ἐπιφέρομεν; ἰδοὺ ἐγὼ ἀντί-
παλος ἐκ τοῦ ἡμετέρου στρατοῦ ἐξέρχομαι, καὶ σὺ αὐτὸς ἀπὸ τῶν Ἑλλήνων,
καὶ μονομαχήσωμεν. ἐὰν ἐγὼ σὲ ὑπερνικήσω, οἱ Ἕλληνες ἐμοὶ ὑποταγῶσιν ἐν
δουλείᾳ. εἰ δὲ αὐτὸς ἐμὲ ὑπωπιάσῃς, οἱ ἡμέτεροι σοὶ ὑποκλίναντες δουλεύσωσι,
καὶ χωρὶς αἱματεκχυσίας τοῖς ἀμφοτέρων μέρεσι γένηται εἰρήνη καὶ ἀσφάλεια.
45 ταῦτα ἀκούσας ὁ τῶν Ἑλλήνων βασιλεύς, ἐφοβήθη λίαν, ὅτι ἀναλκέστατος ὑπῆρ-
χεν τῇ τῶν ὀστῶν δυνάμει, καὶ ἐκκενωθεὶς τὸ τῆς καρδίας θάρσος, ἐταράχθη,
μὴ εὑρίσκων πῶς αὐτῷ παράσχοι ἀπόκρισιν. τότε παρακελεύεται πανταχῇ
γράμματα καταπεμφθῆναι πρὸς τοὺς στρατηγοὺς τῆς ἰδίας ἐξουσίας, ὅπως πάν-
τες πρὸς αὐτὸν ἐν τάχει παραγένωνται. τότε δὴ οἱ ἄρχοντες καὶ οἱ στρατηγοὶ

74/75 τηροιδήτας m[1], τηρηδάτης m[2] | 76 ἰδιοποιήτο | 76 τὸ m = τῷ | 78 ονόμασεν m[2] | 78 φόσεων m[1], jung in φοσέων geändert | 79 τηρηδάτης | 79 ἐκάθησεν | 80 κόμητι λικιανῷ | 81 προσπεφυγὼς | 86 τηρηδάτην | 87 ὑπέκλινεν zu schreiben, reicht nicht aus | 89 μανθάνη | 89 τηρηδάτης | 90 η von τηνικαῦτα unterm Schreiben aus ι | 93 δουλίαν | 93 λατρίας | 94 συναθροίζη | 95 συνκομήσας | 1 ἐ von ἐμὲ erster Hand über der Zeile | 1 ὑποπιάσης | 3 ἀνελκέστατος | 4 τῇ m = τὸ

τὰ πρὸς αὐτὸν ἐν σπουδῇ κατελάμβανον. | παραλαβὼν οὖν καὶ Λικινιανὸς τὴν 18[2]
ὑπὸ τὴν αὐτοῦ χεῖρα στρατιάν, ἥκει μετὰ πάντων. ἦν δὲ καὶ Τιριδάτης σὺν αὐ-
τοῖς.
19 καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι τὰ συστήματα τῶν στρατοπέδων, ἔφθα-
σαν ἐν στενωτάτοις τόποις ἀνὰ μέσον τῶν ἀμπελώνων φραγμῶν, πρὸς τὰς πύλας 46
τῆς πόλεως προσενέτρεχον. αἱ δὲ πύλαι κεκλεισμέναι ἦσαν, μεσονυκτίου ὄντος.
καὶ ἐπειδήπερ οὐχ ηὑρίσκετο χορτάσματα τοῖς ἵπποις, ἕως ὡρῶν πλείστων ἀναβλέ-
ψαντες, θεωροῦσιν χόρτον πολὺν ἀποτεθειμένον ἐν περιβόλῳ, εἰς ὃν οὐδεὶς ἠδύ-
νατο ἐκτεῖναι χεῖρα διὰ τὸ ὕψος τοῦ τοίχου. τότε Τηριδάτης ἐπιβὰς κάτεισιν
εἰς τὸ χορτοβολίον καὶ ἀναρρίπτει δεσμὰς μεγάλας εἰς μέσον τῆς στρατιᾶς εἰς
χορτασίαν τῶν ἵππων· οὐ μόνον δέ, ἀλλὰ καὶ τοὺς φυλάσσοντας κύνας πολλοὺς
ἐπάνωθεν τοῦ τοίχου ὑπερηκόντιζεν. αὐτὸς δὲ ἀναπηδήσας καταβαί|νει διὰ τοῦ 19[1]
τοίχου. ταύτην οὖν τὴν ῥοπὴν αὐτοῦ θεασάμενος ὁ Λικινιανὸς ὑπερεθαύμασεν,
καὶ τοῦ ὄρθρου τὴν ἡμέραν ἀπογυμνώσαντος, ἠνοίχθησαν αἱ πύλαι τῆς πόλεως,
οἱ δὲ στρατηγοὶ εἰσῄεισαν εἰς τὴν πόλιν ἅμα τῶν στρατευμάτων. ὁ δὲ Λικινιανὸς
τῷ βασιλεῖ παρέστη, καὶ πάντες οἱ μεγιστᾶνες καὶ στρατο‖πεδάρχαι καὶ νουμέ- 47
ραρχοι.
20 ὁ δὲ βασιλεὺς διηγήσατο πάντα τοῖς ἄρχουσιν τὰ δηλωθέντα ὑπὸ τοῦ
τῶν Γόθθων βασιλέως. τότε ἤρξατο Λικινιανὸς τῷ βασιλεῖ λέγειν. μηδέν,
φησί, ταραχθήτω ἡ καρδία τοῦ ἐμοῦ δεσπότου· ἔστιν ἐνθάδε ἀνὴρ ἐν τῷ ὑμε-
τέρῳ παλατίῳ, δι' οὗ αὐτὴν τὴν ἀπορία λύσιν λαμβάνει, Τιριδάτης, ἐκ τῆς συγ-
γενείας τοῦ τῆς Ἀρμενίας βασιλέως. καὶ διηγήσατο αὐτῷ πάντα τὰ κατὰ τὴν
ἑσπέραν αὐτοῦ ἀνδραγαθήματα. τότε ἐκέλευσεν προσκαλέσασθαι | τὸν Τιριδάτην, 19[2]
καὶ ἐλθὼν ἐξεῖπεν αὐτῷ πάντα ἀκολούθως. παρ' αὐτίκα οὖν συνετάξαντο, καὶ
ὥρισαν ἐν ἑτοιμασίᾳ πολέμου ἐπὶ τὴν αὔριον ἀλλήλους θεάσασθαι μονομαχοῦν-
τας. ὄρθρου δὲ ἀνατείλαντος, ἐκέλευσεν ἁλουργίδα αὐτὸν ἐνδυθῆναι. καὶ ἐκαλ-
λωπίσθη Τιριδάτης ἐν σχήματι Καίσαρος. περιέθηκαν δὲ αὐτῷ καὶ βασιλικὸν
διάδημα, ὥστε μηδένα γινώσκειν, εἰ μὴ αὐτὸς οὗτος εἴη ὁ Καῖσαρ. τὸ δὲ πλῆ- 48
θος τοῦ στρατεύματος ἐκβάλλοντες ἐν φωνῇ σάλπιγγος ἔμπροσθεν ἤγαγον ἕως
ἐξ ἐναντίας τῶν ἐχθρῶν. ἀντιπαρασταθέντες δὲ ὁ καισαροειδὴς καὶ ὁ τῶν Γόθ-
θων βασιλεὺς σφοδρωτάτῃ τάσει, φραγελλώσαντες ἀμφότεροι τὰ τῶν ἵππων στέρνα,
ἀλλήλους ἐπέφθασαν. ἐκεῖσε δὴ ὑπερνικήσας ὁ καισαροειδὴς τὸν τῶν Γόθθων
βασιλέα, καὶ ἀπὸ χειρὸς αὐτὸν λαβών, παρίστησιν τῷ Καίσαρι.
21 τότε ἐμεγάλυνεν σφόδρα ὁ βασιλεὺς τὸν Τιριδάτην, με|γίστας δωρεὰς 20[1]
δεδωκὼς αὐτῷ, καὶ ἐπιδήσας καὶ διάδημα ἐπὶ τὴν κεφαλήν, καὶ πορφύραν ἐν-

9 στρατεἰαν | 9 τηρηδάτησ | 11 υ von πορεύεσθαι war mislungen, über der Zeile wiederholt | 16 τηρηδάτησ | 16 κάτησιν m[1], erster Hand ει über der Zeile | 17 ἀναρίπτει | 17 στρατείασ | 20 ῥωπὴν | 22 λίκίνιοσ, der erste Acut mit ältester Dinte getilgt | 23 στρατοπεδάρχοι m[1] | 23/24 νουμέναρχοι | 28 αὐτὴν τὴν weiß ich nicht zu bessern: παρ' αὐτὰ [ich zu Proverb. 23, 28 Basilius 294, 16] ἡ liegt zu weit ab | 28 ἀπορεία | 28 τηρηδάτησ | 30 τηρηδάτην | 34 τηρηδάτησ | 38 σφοδροτάτη | 38 über ει von τάσει ein tadelnder Punkt | 38 φραγελώσαντεσ | 38 στερρᾶ m[1], στέρρα m[2], Aenderung erster Hand | 41 τηρηδάτην

δύσας, καὶ Καίσαρος ἐνδύμασι κοσμήσας, καὶ στράτευμα εἰς βοήθειαν ἐγχειρί-
σας, ἀπέλυσεν εἰς τὴν ἰδίαν χώραν. καὶ μετὰ τὴν νίκην τῆς μονομαχίας ἀνα-
49 ζεύγνυται ἀπὸ τῆς Ῥωμαίων χώρας Τιριδάτης ὁ τῆς μεγάλης Ἀρμενίας βασι-
λεύς, καὶ παραγενόμενος εὑρίσκει τοὺς τῶν Περσῶν στρατηγοὺς ὅτι τὴν ἅπασαν
χώραν εἰς ἑαυτοὺς ἦσαν ἀποσπασάμενοι ἐν δουλείᾳ. καὶ πολλοὺς μὲν ἐξ αὐτῶν
κατέκοψεν, πολλοὺς δὲ εἰς τὰ μέρη τῆς Περσίδος φυγάδας ἐποίησεν, καὶ τὴν
πατρῴαν δεσποτείαν ἀποσπάσας, κατίσχυσεν τῶν τῆς χώρας ὁρίων. ἐν τῷ πρώτῳ
ἔτει τῆς μεγάλης Ἀρμενίας Τιριδάτου βασιλέως ἐπορεύθησαν καὶ ἥκασιν ὁ βα-
σιλεύς τε καὶ ὁ στρατὸς εἰς τὴν Ἐκελισηνὴν λεγομένην πατρίδα ἐν τῇ κώμῃ
20² τῇ καλουμένῃ Ἐρήζ, ἔνθα ἦν τὸ | τῆς Ἀρτέμιδος ἱερόν, ἵνα ἐκεῖ ἐπιθύσωσι.
καὶ τελέσαντες τὸ ἀθέμιτον ἔργον, κατέβησαν παρεμβάλλοντες παρὰ τὸ χεῖλος
τοῦ καλουμένου Λύκου ποταμοῦ. εἰσελθὼν δὲ εἰς τὴν σκηνὴν ὁ βασιλεύς, κατε-
κλίθη ἐν δείπνῳ, καὶ πεπωκὼς ηὐφράνθη σφόδρα. τότε κελεύει τὸν Γρηγόριον
50 στέμματα καὶ δασεῖς κλάδους τῶν δένδρων δῶρα εἰσφέ||ρειν ἐν τῷ ἱερῷ τῇ εἰκόνι
τῆς Ἀρτέμιδος. ὁ δὲ οὐ προσεδέξατο τιμὴν προσενέγκαι τοῖς εἰδώλοις.
22 ἤρξατο οὖν ὁ βασιλεὺς διαλέγεσθαι πρὸς Γρηγόριον καὶ φησίν· Ἄνθρω-
πος ξένος καὶ ἀπερίστατος ἐλθὼν προσήγγισας ἡμῖν, καὶ πῶς τολμᾷς σέβειν
θεὸν τὸν μὴ παρ᾽ ἐμοῦ προσκυνούμενον; καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκέλευσεν αὐ-
τὸν ἐν ἀσφαλείᾳ γενέσθαι. τῇ δὲ ἐπιούσῃ προσέταξεν, καὶ ἤνεγκαν τὸν Γρηγό-
ριον ἐπὶ τοῦ βασιλέως. εἶπεν δὲ αὐτῷ ὁ βασιλεὺς Τοσαῦτα ἔτη, ἀφ᾽ οὗ τεθέα-
21¹ μαί σε, καὶ | ἐξ ὅλης σου τῆς δυνάμεως ἐδούλευσάς μοι εὐγνωμόνως, καὶ ηὐχα-
ρίστουν τοῖς καμάτοις. δι᾽ ὃ εἶχον ἐν τῇ ψυχῇ ἀποδοῦναί σοι τὴν χάριν. ἵνα
τί οὖν οὐ ποιεῖς τὸ ἐμὸν θέλημα; ἀποκριθεὶς δὲ Γρηγόριος εἶπεν Ἐκέλευσεν ὁ
θεός, ἵνα οἱ δοῦλοι ὑποταγῶσι τοῖς σαρκικοῖς δεσπόταις καθ᾽ ὡς πρέπον ἐστίν,
51 ὡς καὶ αὐτὸς μαρτυρεῖς μοι πῶς ἐδού||λευσά σοι ἐγὼ ἐξ ὅλης μου τῆς ἰσχύος.
ὅμως δὲ τὴν τοῦ θεοῦ τιμὴν καὶ λατρείαν οὐδενὶ ἔξεστιν ἀποδοῦναι. αὐτὸς γὰρ
ἐστὶν μόνος ποιητὴς οὐρανοῦ καὶ ἀγγέλων καὶ γῆς καὶ ἀνθρώπων καὶ πάντων
ὁρατῶν τε καὶ ἀοράτων κτισμάτων, τῶν ὀφειλόντων προσκυνεῖν αὐτὸν καὶ λατρεύ-
ειν. ὁ δὲ βασιλεὺς ἔφη Γίνωσκε ὅτι ἀπεποιήσω τὸν σὸν κόπον ὃν ἐμοὶ κεκοπία-
κας ὡς ἐγὼ μαρτυρῶ. νῦν δὲ ἀντὶ τιμῆς ἐπιτίθημί σοι θλίψιν καὶ ἀντὶ δόξης
21² ἀτιμίαν καὶ ἀντὶ ἀξιώματος φυλακὴν καὶ δεσμά, | καὶ αὐτὸν τὸν θάνατον τὸν
ἀποκόπτοντα πάσας τὰς ἐλπίδας τῶν ἀνθρώπων, ἐὰν μὴ καταδέξῃ τοῖς θεοῖς
λατρείαν προσφέρειν, μάλιστα ταύτῃ τῇ μεγάλῃ Ἀρτέμιδι τῇ δεσποίνῃ, ἥτις ἐστὶν
52 δόξα τῷ ἡμετέρῳ γένει καὶ ζωοποιός, ἣν καὶ βα||σιλεῖς πάντες τιμῶσι, καὶ μά-
λιστα ὁ βασιλεὺς τῶν Ἑλλήνων. μήτηρ γὰρ ἔστι πάσης σωφροσύνης, καὶ φιλάν-
θρωπος τῇ ἀνθρωπίνῃ φύσει, καὶ γέννημα τοῦ μεγάλου καὶ ἐναρέτου Διός.

66 Tit 2, 9

43/44 ἐνχειρίσασ | 45 τηρηδάτησ | 50 τηρηδάτου | 51 Ἐκελισηνὴν ℵ, ἐκκλησίαν ἣν m | 52 ἔρηξ | 53 ἀθέ-
μητον | 54/55 κατεκλήθη | 59 προσεγγίσασ | 63 τῆσ erster Hand über der Zeile | 65 ποιῆσ | 72 ἐπιτίθημοί
m¹, unterm Schreiben verbessert

23 εἶπεν δὲ Γρηγόριος Ἐγὼ μὲν σοὶ ἐν εὐνοίᾳ κεκοπίακα. καὶ οὐκ ἄν
ποτε ἐγὼ αὐτὸς τὸν ἐμαυτοῦ κόπον ἀποποιήσω οὐδὲ ἀθετήσω, κατὰ τὸ διαταχθὲν
παρὰ τοῦ θεοῦ δουλεύειν σαρκικοῖς δεσπόταις. ἀλλ᾽ ἔστιν κύριος ὁ τῶν ἀγαθῶν
μισθαποδότης. οὐδὲ γὰρ ἐγὼ παρὰ σοῦ προσεδόκουν ἀπολαβεῖν τι, ἀλλ᾽ ἀπὸ
τοῦ ποιητοῦ, οὗ εἰσιν ὁρατὰ καὶ ἀόρατα κτίσματα. περὶ δὲ ὧν λέγεις θλῖψιν
μοι | ἐπιθεῖναι ἀντὶ τιμῆς, προστιθείς μοι τὴν τοῦ Χριστοῦ ἡτομασμένην εὐφρο- 22[1]
σύνην, οὗ ἡ δεσποτεία αἰωνία καὶ ἡ βασιλεία ἄληκτος καὶ τὰ ἀγαθὰ ἀκατά-
ληπτα. καὶ ὅτι ἀντὶ δόξης ἔφης || ἀτιμίαν ἐπαγαγεῖν, ὄντως προξενεῖς μοι τὴν 53
τῶν ἀγγέλων τιμὴν τῶν δοξολογούντων ἐν εὐφροσύνῃ τὸν ἑαυτῶν ποιητήν. καὶ
ὅτι λέγεις ἀντὶ ἀξιώματος φυλακὴν καὶ δεσμὰ περιβαλεῖν μοι, μακάριός εἰμι δε-
ξάμενος· τὴν μίμησιν τῶν δεσμῶν τοῦ ἐμοῦ δεσπότου, ἵνα μετ᾽ αὐτοῦ εὐφρανθῶ
καὶ ἀγαλλιάσωμαι ἐν τῇ αὐτοῦ παρουσίᾳ. καὶ ἐπειδὴ νομίζεις ἀποστερεῖν με
τῶν σῶν δείπνων, ἰδοὺ ἑτοιμάζεις μοι κατακλιθῆναί με μετὰ τοῦ πατρὸς τῆς πί-
στεως ἡμῶν Ἀβραὰμ καὶ πάντων τῶν δικαίων τῶν μελλόντων εὐφρανθῆναι ἐν
τῇ βασιλείᾳ τοῦ θεοῦ. καὶ ὅτι ἀπειλεῖς μοι θάνατον, ἰδοὺ ἀναμιγνύεις με εἰς
τὸν χορὸν τοῦ θεοῦ, ἔνθα πάντες εἰσὶ χορεύοντες, πατέρες καὶ δίκαιοι καὶ προ-
φῆ|ται καὶ ἀπόστολοι καὶ μάρτυρες καὶ πάντες οἱ ἐκλεκτοὶ τοῦ θεοῦ. καθ᾽ ὡς 22[2]
δὲ λέγεις ὅτι Ἐν τῷ θανάτῳ τὴν ἐλπίδα τῆς ζωῆς σου ἐκκόπτω, οὐχ ἡ ἐμή,
ἀλλ᾽ ἡ σὴ ἐλπὶς ἐκκόπτεται ἀπὸ πάντων τῶν θεοσεβῶν, ἡ δὲ τῶν θε||οφιλῶν ἐλ- 54
πὶς περικρατεῖ. ἣν κἀγὼ αὐτὸς ἔχω. τῶν δὲ καθ᾽ ὑμᾶς λατρευόντων εἰδώλοις
καὶ χειροποιήτοις ἀνθρώπων ἀληθῶς ἐστὲ ἀπηλπισμένοι ἀπὸ τῆς θεϊκῆς ζωῆς.

24 ἣν δὲ σὺ καλεῖς μεγάλην δέσποιναν Ἄρτεμιν, σεαυτὸν ἀπατῶν. οὐχ
οὕτως γὰρ ἔχει τὰ περὶ τούτων, ἀλλ᾽ ἄνθρωποι ἐγένοντο ἐν καιρῷ τινί. καὶ
ἐπειδήπερ διὰ κνήσεις δαιμόνων καὶ γοητείας ἐξέστησαν, τούς τε ἀνθρώπους,
μορφὰς καὶ φαντασίας αὐτῶν τῶν δαιμόνων δεικνύντων, ἔπεισαν βωμοὺς οἰκοδο-
μεῖν καὶ στήλας στῆσαι καὶ προσκυνεῖν τὰ ἀνωφελῆ, τὰ μηδὲ κακὸν μηδὲ ἀγα-
θὸν ποιῆσαι δυνάμενα. οὐδὲ γὰρ τιμῆσαι τοὺς ἰδίους λατρευτὰς οὐδὲ ἀτιμῆσαι
τοὺς | ὑβρίζοντας οἷοί τε εἰσὶν οὕστινας· ὑμεῖς σκοτισθέντες λατρεύετε καὶ τὸν 23[1]
νοῦν ἐξεστηκότες, καὶ ἀντὶ τοῦ θεοῦ, οὗ τῶν ἀγαθῶν ἀπολαύετε, τιμᾶτε τοὺς λι-
θίνους καὶ ξυλίνους καὶ χρυσοῦς καὶ ἀργυροῦς, ἃ ὁ θε||ὸς ἔκτισεν εἰς ὑπηρεσίαν 55
καὶ ἀπόλαυσιν καὶ χρείαν τῶν ἀνθρώπων. ἐμοὶ δὲ γένοιτο ἐν πάσῃ ὑποταγῇ
καὶ πάσῃ εὐγνωμοσύνῃ καὶ φόβῳ σέβειν τὸν θεόν. αὐτὸς γὰρ ἐκ τοῦ μὴ ὄντος
τὰ σύμπαντα παρήγαγεν σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ πνεύματι τῷ ἁγίῳ,
καὶ ἐκόσμησεν τὰ σύμπαντα, καὶ ἀφανίσαι δύναται καὶ πάλιν ἀνακαινίσαι τῷ
ἰδίῳ ἐλέει. οὕτως οὖν ἡμετέρα ζωὴ οὐκ ἀποποιεῖται τὴν ἐλπίδα, ὅτι λατρεύομεν
τῷ ζῶντι καὶ ἀληθινῷ θεῷ, ὃς καὶ ἡμῖν ζωὴν δύναται χαρίσασθαι ὅτε βούλεται·

82 Hebr 11, 6 | 91 Matth 8, 11 | 9 Tim α 2, 11 | 10 Macc β 7, 28 Rom 4, 17

80 ἐμαυτὸν | 84 ἐπιθῆναι | 84 ἑτοιμασμένην | 85/86 zweites α von ακαταληπτα erster Hand über der Zeile | 86 ἔφης B, ἀφ᾽ ἧσ m | 87 ἑαυτοῦν, schwacher Versuch der ersten Hand ου zu ω zu machen | 90 ἀγαλλιάσομαι | 91 κατακληθῆναί | 96 ἐκκόπω | 100 ἄρτεμην | 3 ich kann nur ἔσπεισαν lesen | 4 ἀνωφελεῖ | 5 Ende ἀτιμᾶσαι [so] m[2] | 7/8 λιθήνους | 11 μονογενῆ | 12 φανίσαι | 14 χαρήσασθαι

23² εἰ γὰρ καὶ ἀποθνήσκομεν, | ἀλλ᾽ ἀναζῶμεν. καθ᾽ ἅπερ γὰρ ὁ υἱὸς τοῦ θεοῦ
ἀπέθανεν καὶ ἀνέστη, καὶ ἡμῖν ἔδειξεν τύπον ζωῆς τῆς ἀναστάσεως, καὶ ὑπὲρ
αὐτοῦ ἀποθνήσκοντες ζωοποιούμεθα, ὅταν ἀποκαλυφθῇ ἡ βασιλεία αὐτοῦ, ὅταν
56 ἀπαιτηθῶσι δίκας οἱ ἀσεβεῖς ἐπὶ τῇ δικαιοκρισίᾳ τοῦ ἀδεκάστου δικαστοῦ.

25 πάλιν οὖν ὁ βασιλεὺς εἶπεν Ἐπειδὴ εἶπες ὅτι παρὰ σοῦ οὐδὲν προσε-
δόκουν οὐδὲ χρῄζω, οἶδα τί αὐτὸς ζητεῖς, τὴν ἐν τῷ τάφῳ ἀνταπόδοσιν, ἔνθα
εἰσὶν οἱ τεθνηκότες πρῶτοι. πέμπω οὖν σε ἐγὼ ὅπου βούλει ἀπελθεῖν. τίς δὲ
ἔστιν ὁ Χριστός, δεῖξόν μοι, ἵνα γνῶ, καὶ τίς ὁ ἀποδώσων τοὺς σοὺς κόπους, ὃν
ποιητὴν ἀποκαλεῖς. μήπως αὐτός ἐστιν ἄρχων τῶν τάφων ὧν σὺ ἐπιθυμεῖς ἐπι-
τυχεῖν. ἢ τῆς φυλακῆς τῶν δεσμῶν αὐτός ἐστιν ἀπολύτης, καὶ ποῦ εἰσὶν αἱ
24¹ ἄπαυστοι εὐφροσύ|ναι ἃς λέγεις, ἢ ποία ἐστὶν ἡ παρουσία, ἢ τίνες οἱ ἄγγελοι, ἢ
τί ἡ ὑμετέρα ἐλπίς, ἡμῶν δὲ ἀνελπιστία; διασάφησόν μοι ταῦτα πάντα πρὸς ἡμᾶς.
οὐκέτι συγχωρήσω σοι τὴν καταφρόνησιν, τῶν θεῶν ὑβρίζοντι αὐτούς· εἶπες γὰρ
57 ὅτι ἄνθρω|ποι ἦσαν, καὶ εἰς θνητὴν φύσιν κατήγαγες αὐτούς, καὶ τῆς ἀπεράντου
λοιδορίας ἐπιτέθεικας τοῖς θεοῖς καὶ ἡμῖν αὐτοῖς τοῖς βασιλεῦσιν· εἴρηκας γὰρ
ὅτι ἔκφρονοί ἐστε, οἱ βασιλεῖς, σέβοντες αὐτούς.

26 εἶπεν δὲ Γρηγόριος Εἰ βούλει ἀκοῦσαι, ἄκουσον. Χριστός ἐστιν ὁ υἱὸς
τοῦ θεοῦ, δι᾽ οὗ ἐγένετο ὁ κόσμος, καὶ κριτής ἐστιν ζώντων καὶ νεκρῶν, κύριος
καὶ μισθαποδότης, τοῖς ἀγαθοῖς τὰ ἀγαθὰ καὶ τοῖς φαύλοις τὰ κακὰ νέμων.
αὐτὸς ὃν εἴρηκας σύ, ἀληθῶς ἄρχων καὶ φύλαξ ἐστὶν τῶν τάφων. ἀποθανὼν
γὰρ ἰδίῳ βουλήματι, εἰσῆλθεν εἰς τὸν τάφον, ὅστις φυλάττει τὰ ὀστᾶ πάντων τῶν
24² ἀνθρώπων, καὶ τῇ ἰδίᾳ ἀναστάσει ἔδειξεν καὶ ἀπεκά|λυψεν τὴν ἀνάστασιν τῶν
νεκρῶν. αὐτὸς γὰρ καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων διαφυλάττει ζώσας, ἐπειδὴ
58 αὐτός ἐστιν ἡ ζωή, ἵνα ἀνακαι‖νίσῃ τὰς ψυχὰς τῶν ἀνθρώπων, ἐνδεδυμένας ἐν
τῷ αὐτῷ σώματι ἀφθαρσίαν. καὶ τότε φανερὰς ποιήσει κατὰ τὸν ἴδιον κόπον
ἑκάστῳ τὰς ἰδίας ἀμοιβάς. καὶ αὐτὸς ἀπολύσει τοὺς δεσμίους ἀπὸ τοῦ οἴκου
τῶν δεσμῶν, καὶ τοὺς ἐν εἰδωλολατρείᾳ ὑπάρχοντας καὶ κατὰ σὲ ἐν ἁμαρτίαις
δεδεμένους καὶ ἀσεβείαις κολάσεται. ἐν δὲ τοῖς τοιούτοις δεσμοῖς συνήθως μέλλει
ἀποδεῖξαι τὸ ἑαυτοῦ ἔλεος καὶ τὴν χάριν, καὶ ἐξελέσθαι τοὺς ἐπ᾽ αὐτὸν ἠλπι-
κότας. καὶ αἱ ἀκατάπαυστοι εὐφροσύναι τότε γίνονται, ὅταν τοὺς ἀγαπητοὺς αὐ-
τοῦ καὶ τὰς ἐντολὰς φυλάξαντας ἀπαθανατίσει τῇ ἰδίᾳ θεότητι ἐν τῇ τῶν οὐρα-
25¹ νῶν βασιλείᾳ. τοὺς δὲ ἁμαρτωλοὺς καὶ ἐχθροὺς αὐτοῦ ὁ|μοίως ἀθανάτους ποιή-
σει ἐν τῇ αἰωνίᾳ κολάσει. καὶ ἡ παρουσία αὕτη ἐστίν, ὅταν ἔλθῃ ποιῆσαι ταῦτα
πάντα. καὶ ἄγγελοί εἰσιν οἱ ὑπηρέται τῆς μεγαλειότητος καὶ τῆς θεότητος αὐτοῦ.
59 ‖ ἡ ἡμετέρα οὖν ἐλπὶς ταῦτα ἀπεκδέχεται.

27 ἡ δὲ ὑμετέρα ἀνελπιστία τούτων ἐστὶν ἄμοιρος, ὅτι οὐ γινώσκετε τὸν
ποιητὴν ὑμῶν τὸν ἀπαιτοῦντα ὑμᾶς ταῦτα. καὶ ἐπειδὴ οὐκ ἐξητήσατε τὸν κτί-

32 Ioh 1, 3

15 ἀποθνήσκωμεν | 16 schreibe τὴν ἀνάστασιν? | 18 ἀπαιτήσουσι | 20 ἀνταπόδωσιν | 22 σκοποὺς | 29 ἐπι-τέθηκας | 33 μισθαποδώτης | 38 ἀνακαινίσει | 42 ἀσεβείας κολάσηται | 44 ο von γίνονται unterm Schreiben zu ω gemacht: kaum umgekehrt | 45 ἀποθανατήσει | 50 γινώσκεται m¹, von erster Hand verbessert

σαντα ὑμᾶς, ἀληθῶς ὡς ἵπποι ἐγενήθητε ἢ ἡμίονοι, οἷς οὐκ ἔστιν σύνεσις, καὶ
βοὸς καὶ ὄνου ἀφρονέστεροι ὑπάρχετε, μὴ γινώσκοντες τὸν κύριον ὑμῶν, ὅστις ἐν
τῷ ἰδίῳ καιρῷ τὰς σιαγόνας ὑμῶν ἄγξει, τῶν μὴ μεμαθηκότων προσεγγίσαι αὐτῷ.
ἀλλ' ἐπειδήπερ εἶπες ὅτι Τοὺς θεοὺς ὑβρίζεις, τί εἰσιν αἱ ὕβρεις αὗται αὐτοῖς;
οὔποτε οὐδὲ τιμήσαντος αὐτοὺς αἰσθάνονται, ὅτι ἐκ χειρὸς ἀνθρώπων εἰσὶ πλα-
σθέντες, καὶ ἀπὸ παραφρονήσεως καὶ φαντασίας ἐνυπνίων γενηθέντες καὶ κτι-
σθέντες. ἀνδριὰς γάρ ἐστιν εἰκὼν ἄψυχος τῶν πρώτων ἀνθρώπων, ἀπατηθέντες
ἐργάζεσθαι τούτων. ‖ ἐν γὰρ τούτῳ ἐπλανήθησαν, | τυφλωθέντες ἀπὸ τοῦ φω- 60 25[2]
τὸς τοῦ ποιητοῦ. οἱ δὲ οὕτως δυσσεβοῦντες δικαίως λέγονται ὡς τὰ ἄλογα. στόμα
γὰρ αὐτοῖς ἐστίν, καὶ οὐ λαλήσουσιν. ὀφθαλμοὶ αὐτοῖς εἰσί, καὶ οὐ βλέπουσιν.
ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι. ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. χεῖρας ἔ-
χουσι, καὶ οὐ ψηλαφήσουσιν. πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. οὐδὲ γὰρ ἔ-
στιν πνεῦμα ἐν τῷ στόματι αὐτῶν. ὅμοιοι αὐτοῖς γένοιντο πάντες οἱ πεποιθότες
ἐπ' αὐτοῖς.

28 ὑπολαβὼν δὲ ὁ βασιλεὺς εἶπεν αὐτῷ Ποσάκις σε ἐνουθέτησα καὶ ἐνε- IV
τειλάμην, ἵνα μὴ δευτερώσῃς τὰ πλάσματα τῶν μυθευομένων σου ῥημάτων, ἃ
συνράψαι μεμάθηκας· οὐδὲ γὰρ πρέπει σε λαλεῖν ταῦτα. κἀγὼ ἐφεισάμην σου
ὡς κεκμηκότος, ὅπως ἔλθῃς εἰς εὐθύτητα, σέβειν τοὺς θεούς. σὺ δὲ ἐπιβαλὼν
ἄλλῳ τὴν τιμὴν αὐτῶν, ὃν ἂν βούλῃ, καλεῖς ποιητήν, καὶ τοὺς ὄντας ἀληθῶς
ποιητὰς ὑβρί‖ζεις, καὶ τὴν μεγάλην Ἄρτεμιν, ἐν ᾗ ζῇ καὶ ζωὴν ἔχει ἡ χώρα τῆς 61
Ἀρμενίας, σὺν ταύτῃ δὲ καὶ τὸν ἀνδρειότατον Δία, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς,
μετὰ δὲ τοῦτον καὶ τοὺς ἄλλους θεούς, καλέσας ἀψύχους καὶ ἀλάλους. καὶ
| ἡμῖν δὲ ἐξέτεινας ὕβρεις· ἐτόλμησας γὰρ εἰπεῖν ἡμᾶς ἵππους καὶ ἡμιόνους, καὶ 26[1]
πάσας τ σ λοιδορίας προστεθεικώς, ἐπαρρησιάσω ἀλόγους ἡμᾶς εἰπεῖν. νῦν πε-
ριβαλῶ σε ἐν βασάνοις, καὶ κημὸν ἐμβαλῶ ἐν ταῖς σιαγόσιν σου, ἵνα γνῷς τὴν
ματαιότητα τῶν σῶν λόγων, οὓς προέβαλες ἐνώπιόν μου, ὅτι διὰ ταῦτά σοι ἐγέ-
νετο. καὶ τοῦτο, φησί, μέγα σοι ἐστίν, ὅτι ἐλάλησας ἐνώπιόν μου, καὶ ἐτίμησά
σε, καὶ ἔδωκάς μοι ἀπόκρισιν ὡς τῷ σῷ ἑταίρῳ.

29 καὶ ἐκέλευσεν ἐξάγκωνα δῆσαι αὐτόν, καὶ χαμὸν ἐν τῷ στόματι αὐτοῦ
δοῦναι, καὶ τοῦ παρ' αὐτοῖς λαξευτοῦ ἅλατος βώλους ἐπιθεῖναι κατὰ τοῦ νώτου
αὐτοῦ, καὶ στραγγαλώ‖σαντας αὐτὸν τῇ στραγγάλῃ κατὰ τοῦ στήθους κατασφίγξαι, 62
καὶ ἀνακρεμασθῆναι ἐν ὑψηλοτάτῳ τόπῳ τοῦ δώματος τοῦ παλατίου αὐτοῦ διὰ
μηχανικῶν ὀργάνων. καὶ ἔμεινεν οὕτως κρεμώμενος ἑπτὰ ἡμέρας. καὶ ἐκέλευ-
σεν, καὶ ἔλυσαν αὐτὸν ἀπὸ τῶν πικροτάτων καὶ δεινοτάτων βασάνων τούτων. καὶ
ἐνέγκαντες ἔστησαν αὐτὸν ἐπὶ τοῦ βασιλέως. καὶ ἠρώτα αὐτὸν λέγων Πῶς ἐκαρ-

52 Psalm λα [לב], 9 | 53 Isa 1, 3 | 54 Psalm λα [לב], 9 | 60 Psalm ρλδ [קלה], 16—18

56 ἐσθάνονται | 58 ἀνδρείασ | 58 εἰκόνα ψυχάσ: das Richtige wollte schon B | 62 ἀκούωσι | 63 über ν von ψηλαφήσουσιν ein Punkt ältester Dinte | 63 περιπατήσωσιν | 70 βούλει | 71 ἄρτεμην | 72 ἀνδριότατον δίαν, über dem letzten ν ein Punkt | 75 das nicht vollständig lesbare Wort steht erster Hand über der Zeile | 75 προστεθηκὼσ | 79 ἑτέρω | 80 ἐξά\γκονα, der Acut jünger | 81 ε von λαξευτοῦ später auf Rasur | 81 ἐπιθῆναι | 81 νότου | 82 στραγγαλώσαντοσ | 83 ὑψηλωτάτω | 84 nicht κρεμάμενοσ

26[2] τέρησας | ἕως τῆς σήμερον; ἔλαβες ἄρα πεῖραν ὅτι ἀληθῶς ὡς ὄνος οὕτως βα-
στάξας κατὰ τοῦ νώτου γόμον ἐστήρισας, καὶ ἐπὶ τόπῳ ἔμεινας μετὰ τὸν γόμον,
ἐπειδὴ ἐτόλμησας ὑβρίσαι τοὺς θεούς, λέγων Ἀκίνητοί εἰσι; διὰ τοῦτο ἀπέδωκάν
σοι τὴν τιμωρίαν ταύτην. νῦν δὲ ἐὰν μὴ καταδέξῃ σέβειν αὐτούς, καὶ προσθή-
63 σῃς τοιαύτας ὕβρεις, ἔτι μειζότερά σοι κακὰ γενήσεται. || εἶπεν δὲ Γρηγόριος πρὸς
τὸν βασιλέα Περὶ τῶν δαιμόνων οὓς σὺ καλεῖς θεούς, ὄντως εἰσὶ θετὰ καὶ κτιστά.

**30** τεθειμένα γάρ εἰσι καὶ κεκτισμένα ὑπὸ τῶν ἀνθρώπων, καὶ ἐξεικονι-
σθέντα διὰ χειρὸς τεχνιτῶν· ὁ μὲν ξύλινος, ὁ δὲ λίθινος, καὶ χαλκὸς καὶ ἄρ-
γυρος καὶ χρυσός· μηδὲ λαλήσαντές ποτε μηδὲ φρονήσαντες οὐδὲ ἐνθυμηθέν-
τες ἕνεκεν ἐμοῦ καὶ σοῦ, ὡς καὶ αὐτὸς συμμαρτυρεῖς μοι ὅτι οὐδέποτε εἰπάν σοι
αὐτοὶ περὶ τῶν ἐμῶν βασάνων τῶν παρὰ σοῦ ἐπενεχθεισῶν μοι. καὶ πῶς ὅλως
αἰσθάνονται λίθοι ἄψυχοι τῶν πόνων τῶν ἀνθρωπίνων; ὑπὲρ ὧν δὲ ἐκρέμασάς
27[1] μοι βώλους ἁλός, ἵνα κακωθῶ ἐν δεσμοῖς, | ἐλπίζω εἰς τὸν κύριόν μου Ἰησοῦν
Χριστὸν τὸν πάντων δημιουργόν, ὅτι ἐξήρτυσεν τὴν ἐμὴν ἀνοστίαν ἐν ἀληθινῷ καὶ
64 εἰλικρινεῖ καὶ ἀδιαφθόρῳ ἅλατι, καὶ παρέσχεν μοι τὸν ἡδύτατον καὶ ἐλαφρότατον
ζυγὸν τῆς ταπεινώσεως, διὰ τῆς αὐτοῦ δωρεᾶς εἰς τὸν αἰῶνα διαμενούσης, ὁ ὑψῶν
τοὺς ταπεινοὺς διὰ τὴν φιλανθρωπίαν αὐτοῦ εἰς τὴν ἀπέραντον καὶ ἀτελεύτητον
ἀνταπόδοσιν. ὅταν αἱ ἑπτὰ τῶν ἐνιαυτῶν ἑβδομάδες πληρωθῶσιν, ὅταν ἀναπαύσῃ
τοὺς ἑαυτοῦ, τοὺς κεκμηκότας, τῇ μεγαλοδώρῳ αὐτοῦ ἀγαθότητι. οἱ δὲ σέβοντες
τὰ λίθινα εἴδωλα κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου καταβήσονται ὡσεὶ λίθος
ἐν ὕδασι πολλοῖς, οἱ δὲ τὰ ξύλινα γλυπτὰ σέβοντες πεσοῦνται οὕτως ὡς εἶπεν
περὶ αὐτῶν· πῦρ ἐκκέκαυται ἐπὶ τὰ ξύλα τοῦ ἀγροῦ, καὶ κατακαύσει τοὺς ἁμαρ-
τωλούς, καὶ οὐ σβεσθήσεται. πρὸς δὲ τοὺς τὰ ἀργυρᾶ καὶ χρυσᾶ σέβοντας οὕ-
τως εἶπεν· Τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον οὐ δυνήσεται ἐξελέσθαι αὐτοὺς
27[2] 65 ἐν ἡμέρᾳ ὀργῆς κυρίου, τοῦ δυναμένου || κρεμάσαι φορτία δυσβάστακτα | πᾶσι
τοῖς ἀνθισταμένοις ἁμαρτωλοῖς καὶ τοῖς κατὰ σὲ ἀσεβέσι.

**31** καὶ θυμωθεὶς ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν κατὰ κεφαλῆς κρεμασθῆναι
ἀπὸ τοῦ ἑνὸς ποδός, ἵνα ἔτι αὐτοῦ ἐπὶ κεφαλῆς κρεμαμένου καπνίσωσιν ὑπὸ κάτω
αὐτοῦ δυσώδη κόπρον, καὶ τυπτηθῇ σφόδρα βάκλοις ὑγροῖς. καὶ ἔδειραν αὐτὸν
δέκα ἄνθρωποι κατὰ τὴν κέλευσιν τοῦ βασιλέως, καὶ ἔμεινεν οὕτως κρεμώμενος
ἑπτὰ ἡμέρας. ἔτι δὲ αὐτοῦ κρεμαμένου, ἤρξατο εὔχεσθαι ἀπὸ τῆς κρεμάσεως
οὕτως· Εὐχαριστῶ σοι, δέσποτα, τῷ καταξιώσαντι τὴν ἐμὴν ἀναξιότητα τῆς σῆς
δωρεᾶς. ἀπ' ἀρχῆς γὰρ ἠγάπησας τὸ πλάσμα τῶν χειρῶν σου, καὶ δέδωκας
τὴν ἀκάματον τρυφὴν τῆς ἀναπαύσεως τοῦ παραδείσου εἰς ἀπόλαυσιν ἡμῶν, ἀθα-

1 Mtth 11, 30 | 2 Luc 1, 52 | 4 Dan 9, 25 | 6 Ezdr α 19, 11? Ex 15, 5? | 8 Dt 32, 22 Ier 15, 14 | 10 Ez 7, 19 | 11 Luc 11, 46

88 νότου | 88 ἐστήρησας | 90/91 προσθήσεις, aber zu ει erster Hand über der Zeile η | 94 λίθηνος | 94/95 ἀργυρὸς m[1], der Gravis später gestrichen | 95 χρυσὸς hat alten Punkt über ο | 95 später zu φροντήσαντες gemacht | 97 ἐπενεχθησῶν | 98 ἐσθάνονται | 100 ω von πάντων zu ο gemacht, das letzte ν ganz verblichen | 1 εἰλικρινῶ | 1 ἀδιαφόρω | 1 ἀλαφρότατον | 4 ἀνταπόδωσιν | 4 ἀναπαύσει | 6 λίθηνα | 11 α von δυναμένου erster Hand auf η | 14 κρεμαμένους m[1], unterm Schreiben verbessert | 16 nicht κρεμάμενος, aber 14 17 mit α | 18 ο von ἀναξιότητα scheint erster Hand aus ω gemacht

νάτους, ἀπόνους ποιήσας, τῶν κλήρων τῆς ζωῆς ἀξιώσας καὶ εὐφροσύνης κληρο-
νόμους ποιήσας, ὡς καὶ ἡτοίμασας ἐν ἀρχῇ, εἰ ἐμείναμεν ἐν τῇ σῇ ἐντολῇ,
ἀπὸ τοῦ ξύ||λου μὴ γευσάμενοι. εἶπες γὰρ Μὴ φάγετε ἀπὸ τοῦ ξύλου τοῦ γνω- 66
στοῦ καλοῦ καὶ πονηροῦ, οὐχ ὅτι τὸ ξύλον οὕτως ἦν ὠνομα|σμένον ζωῆς καὶ θα- 28[1]
νάτου, ἀλλ' οὕτως ἐβουλήθης δεῖξαι τὸ σὸν θέλημα καὶ τοῦ μονογενοῦς σου υἱοῦ
(αὐτὸς γάρ ἐστιν ὁ γόνος τῆς σῆς θεότητος) καὶ τὸ θέλημα τοῦ ἁγίου σου πνεύ-
ματος (τοῦτο γὰρ ἐκ σοῦ ἐκπορεύεται καὶ πληροῖ τὰ πέρατα τῆς γῆς). εἰ γὰρ
ἐμείναμεν ἐν τῇ σῇ ἐντολῇ, δέσποτα, καὶ ἐφυλάξαμεν αὐτὴν ἣν ἔθου διὰ τὴν
καλλονὴν τῆς ἡμετέρας δοκιμασίας, ἐχαρίσω ἂν ἡμῖν τὸ ζῆν ἄπονον, ἄκοπον,
καθαρὸν καὶ ἀμέριμνον, ἄλυπόν τε καὶ ἀκήρατον, αὐξηθῆναι δυναμένους καὶ
πληθυνθῆναι καὶ ζῆν σωματικῶς ἄνευ αἰσχύνης, δόξαν ἐνδεδυμένους ἐν τῷ || σῷ 67
παραδείσῳ, ἐν ᾧ ἀπέθου ἡμᾶς, ἔπειτα δὲ ὥσπερ τὴν ἁγίαν τεκνογονίαν τοῦ πα-
ναγίου Ἐνὼχ μεταθεῖναι ἐν τῷ παραδείσῳ· ἀνέλαβες γὰρ αὐτὸν εἰς τὴν τῆς
εὐφροσύνης τάξιν καὶ τὸν κλῆρον τῶν ἀθανάτων ἀγγέλων. νῦν οὖν εἰ ἐμείναμεν
ἐν τῇ σῇ ἐντολῇ, ἔδειξας ἡμῖν τύπον τὸν Ἐνώχ, ἵνα κατὰ τὴν ὁμοίωσιν αὐτοῦ
μετὰ τὴν ἀπόλαυσιν τοῦ παραδείσου καὶ τὰς γηΐνας καταστάσεις μετήνεγκας εἰς
τὴν ἀθανασίαν καὶ τὰς ἀγγελικὰς τάξεις, καὶ ἅμα ἐπήγαγες ἂν ἡμῖν | καὶ τὴν 28[2]
σὴν βασιλείαν ἣν προητοίμασας εἰς τὴν ἡμετέραν δόξαν πρὸ τοῦ εἶναι τὸν κόσμον,
ἣν ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀ-
νέβη, ἣν καὶ νῦν δώσεις, δέσποτα, τοῖς ἠγαπηκόσιν τὸ πανάγιόν σου ὄνομα καὶ
τὴν παρουσίαν τοῦ σοῦ μονογενοῦς.

32 ὅτε οὖν ἐθεάσατο ὁ μισόκαλος τιμηθέντας ἡμᾶς ὑπὸ τοῦ θελήματος
τῆς σῆς φιλανθρω||πίας, ἐφθόνησε τῇ τοῦ στεφάνου τιμῇ τῆς καυχήσεως ἡμῶν, 68
τιμῇ δὲ τῇ παρὰ σοῦ δεδομένῃ, ὅτι ἐν ὁμοιώματι τῆς σῆς εἰκόνος πεποίηκας
τὸν ἄνθρωπον, καὶ ἔστησας αὐτὸν δεσπότην πάντων. καὶ ἀπὸ τοῦ διαβολικοῦ φθό-
νου αἱ εὐόλισθοι ἀπάται καὶ ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ κατέβαλεν
τὸν ἄνθρωπον καὶ ἐξέρριψεν ἐκ τῆς ζωῆς καὶ τῆς ἀναπαύσεως τῆς σῆς ἀγαθό-
τητος τῆς χαρισθείσης αὐτῷ. ὅτε οὖν ᾠκτείρησεν ἡ σὴ θεότης τὴν ἀσθένειαν
τῆς ἀνθρωπότητος, διὰ τὴν ἀκατάληπτόν σου ἐλεημοσύνην καὶ ἀγαθότητα καὶ
ἀνοχὴν τῆς σῆς μακροθυμίας οὐκ ἀφῆκας ἡμᾶς, ἀλλ' ἐξαπέστειλας τοὺς ἁγίους
σου προφήτας | εἰς τὸν κόσμον, οἳ καὶ ἐγένοντο φωστῆρες ἐν τῷ αὐχμηρῷ τόπῳ, 29[1]
ἐν μέσῳ τῶν ἐθνῶν, οἵτινες ἀπὸ τῶν ἀνοήτων καὶ ἀνόμων ἀνθρώπων μισῃ||θέντες 69
ἐδιώχθησαν. αὐτοὶ γὰρ καὶ ἀπεκάλυψαν τὰ μυστήρια τοῦ φωτός σου, καὶ ἐκή-
ρυξαν τὸ θέλημά σου καὶ τὴν ἔλευσιν τοῦ σοῦ υἱοῦ, εἰς τὸν κόσμον μέλλοντος
παραγενέσθαι καὶ ἆραι τὸ βάρος τῆς κατακριθείσης ἁμαρτίας τῶν ἀνθρώπων.
οὗ ἕνεκε τοιαῦτα κηρύξαντες ἐν τῷ κόσμῳ, ἐν κακουχίαις ἀπέθανον καὶ βασάνοις

23 Gen 2, 17 | 30 Gen 1, 28 | 33 Gen 5, 24 | 38 Ioh 17, 5 | 39 Cor α 2, 9 | 44 Gen 1, 27 | 45 Ps 8, 7 | 45 Sap 2, 24 | 51 Petr β 1, 19

21 ἀπόνωσ, über der Zeile ου von erster Hand | 22 ἢ m = εἰ | 24 ὀνομασμένον | 40 δώσησ | 42 μισόκαλλοσ | 48 χαρησθείσησ | 48 οἰκτείρησεν | 55 κατακριθήσησ | 56 wirklich ἕνεκε | 56 τοιαῦτα B, τοὺσ ταῦτα m | 56 κηρύξαντες L, κηρύξαι m | 56 κακοχίαισ

καὶ διαφόροις πειρασμοῖς, καὶ ἐν ταραχῇ καὶ πικρότητι ἔζησαν ἐν τῷ κόσμῳ διὰ
τὴν σὴν κήρυξιν παρὰ τῶν θλιβόντων αὐτούς.
**33** οἱ θλίβοντες ἠσθένησαν καὶ ἔπεσον. διὰ τοῦτο καὶ ἐν τῷ ἐπαναστῆναί
μοι τὸν πόλεμον τοῦτον οὐ φοβηθήσεται ἡ καρδία μου, καὶ ἐν τῷ ἐπεγερθῆναί
μοι παράταξιν ἐπὶ σοὶ ἤλπισα, τῷ ἐπ᾽ ἐσχάτῳ καιρῷ φανερώσαντι τὰ μυστήρια
τοῦ θελήματός σου ἃ προαπήγγειλας ταῖς πρώταις γενεαῖς διὰ τὸν ἀγαπητόν σου
29[2] 70 υἱὸν ἐν τοῖς προφήταις ἵνα ἐλθὼν γεννηθῇ ἐκ τῆς ἁγίας παρθένου. | καθ᾽ ἅπερ
γὰρ διὰ τῆς παρθένου Εὔας θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, οὕτως καὶ διὰ
ταύτης τῆς ἀχράντου παρθένου ζωὴ εἰσῆλθεν. καὶ ὥσπερ διὰ τῆς γεννήσεως
Εὔας τῷ Κάϊν κατάρα καὶ ἱδρῶτες καὶ κόποι καὶ τρόποι εἰσῆλθον εἰς τὸν κό-
σμον, οὕτω διὰ τὴν γέννησιν τοῦ σοῦ υἱοῦ ἐκ τῆς ἁγίας παρθένου ἀνάπαυσις καὶ
ζωὴ καὶ εὐλογία εἰσήλθοσαν εἰς τὸν κόσμον. ὁ ἀποστείλας τὸν μονογενῆ σου υἱὸν
εἰς τὸν κόσμον, φῶς ἐκ φωτός, ζωὴν ἐκ ζωῆς, ἵνα ἐλθὼν σαρκωθῇ καθ᾽ ὁμοί-
ωσιν τῆς ἡμετέρας σαρκὸς ἐκ τῆς ἁγίας παρθένου, καὶ ἡμᾶς πρὸς τὴν αὐτοῦ
θεότητα συνάφῃ διὰ τῆς ἰδίας ὁμοιότητος. ὃς καὶ ἐγένετο ὡς ἡμεῖς, καὶ ἐτέχθη
ἐκ τῆς ἁγίας παρθένου καὶ ἐνηνθρώπησεν καὶ ἐσαρκώθη, τὴν ἡμετέραν σάρκα
λαβών, διαμένει δὲ ἐν τῇ ἰδίᾳ δόξῃ καὶ τῇ φυσικῇ αὐτοῦ θεότητι, καὶ ἀλλοίωσιν
71 οὐκ ἐδέξατο ἀπὸ τῆς θεότητος ‖ αὐτοῦ διὰ τὴν σάρκωσιν. ἀλλ᾽ αὐτὸς ὁ ὢν καὶ
ἔστιν καὶ μένει εἰς τὸν αἰῶνα μετὰ σοῦ, τοῦ πατρός, καὶ τοῦ ἁγίου πνεύματος.
30[1] ἀλλ᾽ ἐπειδὴ ἠγάπησε τοὺς ἀνθρώπους, | διὰ τοῦτο ἐγένετο ὡς ἡμεῖς, ἵνα ἡμᾶς
ἐνέγκῃ εἰς τὴν περισσείαν τῆς χάριτος τῆς αὐτοῦ θεότητος. καὶ τοῦτο ἦν τὸ
θέλημα τοῦ γεννήσαντος αὐτόν. καὶ ἐπλήρωσε τὴν βουλήν σου, ὃς καὶ τοὺς ἁγίους
ἐν τῇ ἰδίᾳ ὑπομονῇ δοξάσει ἐν τῷ ὑπενεγκεῖν τὴν ἐξουσίαν τῶν παθημάτων διὰ
τοῦ θανάτου καὶ τῆς ταφῆς.
**34** καὶ ἐπειδὴ ἠγάπησαν οἱ ἄνθρωποι σέβειν τὰς ἀνθρωπομόρφους εἰκόνας,
ξυλογλύπτους τέχνῃ τῶν τεκτόνων, ἐγένετο αὐτὸς ἀληθινὴ εἰκὼν ἀνθρώπου, ἵνα
τοὺς εἰκονοκτίστας καὶ εἰκονοφίλους καὶ εἰκονολάτρας τῇ ἰδίᾳ εἰκόνι τῆς θεό-
τητος ὑποτάξῃ. καὶ ἐπειδήπερ ἦσαν συνεθισθέντες ἄνθρωποι προσκυνεῖν τὰ ἄψυχα
εἴδωλα τὰ νεκρά, ἐγένετο αὐτὸς νεκρὰ εἰκὼν ἐν τῷ σταυρῷ, καὶ ἀπέθανεν καὶ
72 ἄψυχος γέγονεν, ἵνα διὰ τοῦ ‖ συνήθους ἐν τάχει αὐτοὺς ὑποτάξῃ τῇ ἰδίᾳ εἰκόνι.
τὸν δὲ σταυρὸν ὡς ἄγκιστρον κατασκευάσας, τὸ σῶμα αὐτοῦ ἐποίει βρῶμα τῇ
οἰκουμένῃ, ὅπως ἐν τούτῳ θηρεύσῃ πάντας εἰς τὴν βασιλικὴν τράπεζαν τῆς θεό-
30[2] τητος αὐτοῦ. | καὶ ἀντὶ τῶν γλυπτῶν ξύλων ἔπηξεν τὸν σταυρὸν ἐν μέσῳ τῆς
οἰκουμένης, ἵνα οἱ ἐθισθέντες προσκυνεῖν τὰ ξύλα διὰ τοιαύτης συνηθείας πιστεύ-
σωσιν προσκυνεῖν τὸν σταυρὸν αὐτοῦ καὶ τὴν ἐπ᾽ ἄνω ἀνθρωπόμορφον εἰκόνα.
ἐπὶ γὰρ τῷ σταυρῷ, ὃν ἔλεγεν οὕτως, ὃν καὶ οἱ προφῆται προεσήμαναν Ἐγενό-

59 Ps κς [כו], 3 | 61 Hebr 1, 1 | 69 confessio fidei | 69 Phil 2, 7 | 74 Apoc 1, 4 | 92 Ps λζ [לח], 14

62 απ von προαπήγγειλασ erster Hand über der Zeile | 71 συνάψει | 77 ἐνέγκει | 77 περίσσιαν | 79 nach ἐξουσίαν + σὺν | 81 anderes α von ἠγάπησαν unterm Schreiben aus ο? | 82 τέχνῃ τῶν B, τεχνιτῶν m | 84 ὑποτάξει | 84 συνηθισθέντεσ | 86 ὑποτάξει | 92 ο des ersten ὃν erster Hand aus ω. ich möchte das erste ὃν mit dem davorstehenden Komma tilgen | 92 schr ὃ für das andere ὃν?

μην ὡσεὶ κωφὸς οὐκ ἀκούων, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. ὃ
καὶ αὐτός, δέσποτα, ἔλεγες πρὸς τὸν σὸν προφήτην πρὸ τοῦ φθάσαι τὸν καιρὸν
τοῦ ταῦτα πάντα παθεῖν τὸν ἀγαπητόν σου υἱὸν Ἰησοῦν Χριστόν· ἐν τοσαύτῃ ὑπο-
μονῇ ποιήσω σε ἄλαλον, καὶ δήσω τὴν γλῶσσάν σου ἐν τῷ λάρυγγί σου, καὶ
|| ἔσῃ ὡς ἄνθρωπος μὴ ἔχων λόγον ἐλεγμοῦ ἐν τῷ στόματι αὐτοῦ. ἠγάπησαν γὰρ 73
οἱ ἄνθρωποι τὰ ἄλαλα εἴδωλα. διὰ τοῦτο καὶ ὁ ἀγαπητός σου υἱὸς ἐγένετο ἐν
τῷ σώματι καὶ εἰκὼν ἀνθρώπου, καὶ ἀνῆλθεν εἰς τὸ ὕψος τοῦ σταυροῦ ὡς ἐπὶ
ὑψηλοτάτην σκοπιάν, καὶ ἔδειξεν ἑαυτὸν ἄφθογγον διὰ τῆς νεκρότητος, τοῖς ἰδί-
οις ποιήμασι ζωὴ κατὰ | φύσιν ὑπάρχων. 31[1]

35 δι' ὃ εἶδεν αὐτὸν ἡ οἰκουμένη ἐπὶ τὸ ὕψος, καὶ ἠγαλλιάσατο καὶ προ-
σεκύνησεν καὶ ὑπετάγη. καὶ ἐπειδὴ ἐν συνηθείᾳ ἦσαν οἱ ἄνθρωποι εὐφραίνεσθαι
εἰς τὰ ἱερὰ τῶν εἰδώλων ἐν κνήσεσιν, ἃς τοῖς ἀψύχοις προσέφερον, διὰ τοῦτο καὶ
αὐτὸς ἐκάλεσας τὴν οἰκουμένην εἰς τὴν σφαγὴν τοῦ Χριστοῦ σου, καὶ εἶπες Ὁ
μόσχος μου ἐσφαγμένος, καὶ τὸ δεῖπνόν μου ἡτοιμασμένον. καὶ ἐπλήθυνας τὴν
εὐφροσύνην ἀπὸ τοῦ σταυροῦ σου, καὶ ἐχόρτασας πάν||τα τὰ πέρατα ἀπὸ τοῦ ζω- 74
οποιοῦ αὐτοῦ σώματος, ὅ ἐστιν βρῶμα καὶ ζωὴ ἱκανωτάτη πᾶσι τοῖς σοῖς προ-
σκυνηταῖς εἰς πᾶσαν τὴν ὑπ' οὐρανόν· τοὺς δὲ μὴ βουλομένους παραγενέσθαι εἰς
τὴν τῶν γάμων κλῆσιν τῆς πνευματικῆς σου ἀγάπης ἡτοίμασας εἰς τὴν αἰώνιον
κόλασιν καὶ τὸν θάνατον, ὄλεθρον καὶ ἀτελεύτητον κρίσιν. καὶ ἐπειδὴ ἔτρω-
γον καὶ ἔπινον οἱ ἄνθρωποι τὸ αἷμα τῶν θυσιῶν ἐν τῷ λατρεύειν τοῖς δαίμοσι,
διὰ τοῦτο ἐκένωσεν τὸ ἴδιον αἷμα ἐπὶ τοῦ σταυροῦ, ἵνα τὸ ξύ|λον ἀντὶ τοῦ γλυ- 31[2]
πτοῦ ξύλου καὶ αὕτη ἡ ἀνθρωπόμορφος εἰκὼν ἀντὶ τῆς βδελυρᾶς εἰκόνος καὶ
τὸ αἷμα αὐτοῦ ἀντὶ τῶν αἱμάτων τῆς κνίσης, ἐν ᾧ ἀνακαίνωσις τῶν σωμάτων
εἰς τὸ ἀναθάλλειν τὴν ἀνθρωπότητα γέγονεν.

36 ἦλθεν γὰρ ἐξαγοράσαι ἡμᾶς ἐν τῷ ἰδίῳ αἵματι εἰς τὴν καλοδουλείαν
τῆς θεότητος || αὐτοῦ, καὶ ἠλευθέρωσεν ἡμᾶς ἐκ τῆς κακοδουλείας τῶν ἁμαρτιῶν. 75
ἐσμὲν γὰρ τιμῇ αἵματος τοῦ υἱοῦ σου, λελυτρωμένοι καὶ ἐλευθερωθέντες τῷ αἵ-
ματι καὶ τῷ σώματι αὐτοῦ. καὶ οὐκ ἐσμὲν κύριοι ἑαυτῶν, ἵνα τοῖς θελήμασιν
ἡμῶν ἐξακολουθήσωμεν ἢ κατὰ τὰς βουλὰς τῶν θνητῶν ἀνθρώπων πορευθῶμεν.
εἰ γὰρ εἰσὶν ἡμῶν σαρκικοὶ δεσπόται, σαρκικῶς δεῖ αὐτοὺς τιμᾶν ὅσον παρὰ σοῦ
ἐκελεύσθημεν, οὐχ ὅπως δὲ τὴν σὴν δεσποτείαν διὰ τὴν ἀπειλὴν τῶν θνητῶν
ἀνθρώπων ἀνταλλάξωμεν. αὐτοὶ γὰρ τὸ σῶμα μόνον δύνανται βασανίσαι, ὁ δὲ
μονογενής σου υἱός, ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, | δύναται ἐμβαλεῖν εἰς τὰς 32[1]
αἰωνίους κολάσεις ἐν ψυχῇ καὶ σώματι ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ καὶ ἀθανάτῳ
σκώληκι. ἀλλά, δέσποτα, δός μοι δύναμιν τῆς ὑπομονῆς ἐν ταῖς θλίψεσι τῶν πό-
νων τοῦ κινδύνου τούτου, καὶ ἐλέησόν με ὡς τὸν λῃστὴν τὸν συγκοινωνήσαντα τῷ
πάθει || τοῦ σταυροῦ σου, καὶ ποίησον πρὸς μὲ τοὺς οἰκτιρμοὺς τῆς φιλανθρώπου 76

97 Psalm λζ [לח], 15 | 5 Matth 22, 4 | 13 17 Act 20, 28 | 20 Cor α 6, 19 | 24 Matth 10, 28 | 26 Marc 9, 43 44 | 28 Luc 23, 42

100 ὑψηλωτάτην | 100 σχοπίαν | 100 νεκρώτητοσ | 4 schr κνίσαισ oder κνίσεσιν? | 6 ἑτοιμασμένον | 8 ἱκανοτάτη | 15 κνήσησ | 15 ἀνακένωσισ | 15 ἀναθάλειν | 18 ἐλευθέρωσεν | 20 ἑαυτῶν m[2] erster Hand, ἀυτῶν m[1]

σου χάριτος, ἐν ᾗ ἔχει τὴν ζωὴν σύμπασα ἡ γῆ, δίκαιοί τε καὶ ἁμαρτωλοί, ἐν
τῇ ἀνοχῇ τῆς χρηστότητός σου· ἀνατέλλεις γὰρ τὸν ἥλιόν σου ἐπὶ πονηροὺς καὶ
ἀγαθούς, καὶ βρέχεις ἐπὶ δικαίους καὶ ἁμαρτωλούς, φυλάττων τὴν ἀγαθότητά
σου καὶ δεικνύων τὸ ἔλεός σου πρὸς πάντας ἀνθρώπους.
37 δός μοι, δέσποτα, τὴν τῆς ὑπομονῆς χάριν πρὸς τὰς πικρὰς βασάνους
ταύτας, ἐν αἷς κεντοῦσί με, ἵνα κἀγὼ καταξιωθῶ φυλάξαι τὴν παραθήκην τοῦ
φωτὸς τῆς πίστεώς σου, ἣν δέδωκάς μοι, γνῶναί σε καὶ ποιεῖν τὸ θέλημά σου,
32[2] ὅπως μὴ καταισχυνθῶσιν οἱ πεποιθότες ἐπὶ σοί, | οἱ ἐγκαυχώμενοι ἐν τῷ μονο-
γενεῖ υἱῷ σου, κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ παρὰ σοῦ πεμφθέντι, ὃν αὐτὸς
ἀπέστειλας εἰς θάνατον διὰ τὰς ἁμαρτίας ἡμῶν, ἵνα ἄρῃ τὸ βάρος ἡμῶν καὶ
77 ὑπὲρ τῆς παραβάσεως ἡμῶν παραδοθῇ, καὶ ‖ βαστάξῃ εἰς ἑαυτὸν τὰς ἡμῶν ἀνο-
μίας, καὶ σὺν τούτοις ἀπενέγκῃ τὴν κατάραν τῆς κατακρίσεως ἡμῶν διὰ τῶν
παθημάτων τοῦ σταυροῦ αὐτοῦ, καὶ τελειώσῃ καὶ δώσῃ χάριτας δωρημάτων τοῖς
εἰς αὐτὸν πιστεύουσιν. καὶ νῦν, δέσποτα ἀγαθέ, ὁ εἰρηκὼς Μεθ᾽ ὑμῶν εἰμὶ ἕως
τῆς συντελείας τοῦ αἰῶνος, μὴ ἀφήσῃς ἡμᾶς ἔξω τῆς χειρός σου, ἀλλ᾽ ἐνδυνά-
μωσον ἡμᾶς εἰς τὸ σὸν θέλημα, ἵνα ὑπομείνωμεν τὸν πόλεμον τὸν ἕνεκεν τοῦ
μεγάλου σου ὀνόματος, ὅπως φανερωθῇ τὸ καύχημα ἡμῶν τῶν πιστῶν δούλων
εἰς τὴν δεσποτείαν τῆς σῆς θεότητος, καὶ τοῦτο φανερὸν γένηται ὅτι οὐδεὶς δύ-
ναται νικῆσαι τῶν ἐχθρῶν τοὺς ἐπὶ σὲ ἠλπικότας οἳ αὐτοῖς εἰσὶν ἐχθροί.
33[1] 38 | ἀλλά, δέσποτα, σύναψον ἡμᾶς εἰς τὸν ἀριθμὸν τῶν δικαίων σου ἕνεκεν
τῆς σῆς φιλανθρωπίας, ὁ μὴ ἀφήσας ἡμᾶς ἐν ταῖς ἁμαρτίαις τῶν πατέρων ἡμῶν
78 καὶ ἐν ματαίῳ σεβάσματι τῶν ἀρχαίων ἡμῶν καὶ ἐν ἀνο‖μίαις τῶν πρώτων ἡμῶν,
ἀλλὰ δεδωκὼς ἡμῖν γνῶναι τὸν φύσει ποιητὴν καὶ τὴν θεότητά σου, ἵνα μὴ ἀπο-
λώμεθα ἡμεῖς ἐν ματαιότητι τῆς ἀθεΐας, ἀλλ᾽ οἰκτείρας ὡς σοῦ ποιήματα, ὅπως
μὴ ἐπέλθῃ ἐφ᾽ ἡμᾶς ἡ ὀργή σου εἰς τέλος, καὶ μὴ ἐκτρίψῃ ἡμᾶς ὁ θυμός σου,
καὶ μὴ κινηθῇ ἡ ἀπειλή σου εἰς τὴν κτίσιν σου. καὶ νῦν, δέσποτα, δὸς δύναμιν
πολέμου ὑπὲρ τῆς ἀληθείας τοῦ ὀνόματός σου ἀποθανεῖν, καὶ πάλιν ἀνακαινι-
σθῆναι ἅμα ἐν δόξῃ, ὅταν τὸ δεύτερον ἀποστείλῃς πρὸς ἡμᾶς τὸν πάντων μισθα-
ποδότην, ἑκάστῳ τὸ ἴδιον σταθμίζοντα, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα καὶ
ἡμεῖς σταθῶμεν ἱλαρῷ προσώπῳ ἐνώπιόν σου, δεξάμενοι τὸν τῆς νίκης στέφανον
33[2] σὺν πᾶσι τοῖς ἀγαπητοῖς σου. αὐτὸς γὰρ μόνος διαμένεις | εἰς τοὺς αἰῶνας, καὶ
79 πάντα τὰ στοιχεῖα, τὰ γενόμενα τῷ λόγῳ σου, παλαιωθήσονται. ‖ μόνος δὲ αὐτὸς
αἰώνιος καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. αὐτός, δέσποτα,
συνάγεις τοὺς ἀνθρώπους ὡς σῖτον ἐν τοῖς ταμείοις ἐν καιρῷ αὐτῶν, καὶ πάλιν
ἐκ δευτέρου ἀνακαινίζεις καὶ ἀναφέρεις ἐκ τῆς γῆς, τὰ τῶν ἀνθρώπων ὀστᾶ νεά-
ζων, καὶ νεοπτερίζων ὡς ἀετὸν τοὺς ἀγαπητούς σου.

31 Matth 5, 45 | 35 Timoth β 1, 12 | 43 Matth 28, 20 | 57/58 Hebr 11, 6 | 65 Isa 40, 31

30 ἔχῃ | 30 auch vor σύμπασα + ἡ | 31 ἀνατέλλησ | 32 βρέχησ | 35 κοντοῦσί | 37/38 μονογενῆ | 40 βαστάξει | 41 ἀπανέγκει | 42 τελειώσει | 42 δώσει χάρητας | 44 μὴ L, μηδὲ m | 48 vor εἰσὶν ein οὐκ einzuschieben, verbieten ℵ und die Anschauungsweise dieser Schriftsteller | 53 ματαιώτητι | 53 σοὶ | 54 ἐκτρίψει | 58 τὸ m = τὸν | 58 σταθμήζοντα

39 δέσποτα ἡμέρας καὶ κτιστὰ σκότους καὶ ποιητὰ φωτός, σή ἐστιν ἡ
ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, ὁ τάξας φωστῆρας εἰς χρῆσιν ὁδηγίας τῶν σῶν κτισ-
μάτων τοῖς ἐν τῇ γῇ, ὁ ποιήσας δύο φωστῆρας εἰς χρῆσιν τροπῶν, ἐνιαυτῶν,
μηνῶν καὶ καιρῶν, εἰς τὸ συνάψαι τοὺς χρωμένους καὶ μετρῆσαι τὰς ἡμέρας τοῖς
ἐν τῷ κόσμῳ, τὸν ἕνα ἐπ᾽ ἐξουσίαν τῆς ἡμέρας, ἔχοντα τὸν τύπον τοῦ σοῦ μο-
νογενοῦς, τοῦ ἀσβέστου καὶ ἀλήπτου καὶ ἀπαύστου καὶ ἀνεμποδίστου φωτός, τοῦ
μέλλοντος ἀποκαλυφθῆναι τοῖς ἰδίοις δικαίοις ἐν τῷ μέλλοντι αἰῶνι, ὅπου οὐδὲ
ἡμέραι οὐδὲ νύκτες, οὐ σάββατα, οὐ μῆνες, οὐ|κ ἐνιαυτοὶ καὶ καιροί, οὐδὲ ἀλ- 80 34[1]
λαγαὶ ἐνιαυτῶν καὶ καιρῶν τροπαί, μόνος δὲ κύριος ὑπάρχεις, καὶ ποιεῖς τὰς ἀν-
ταποδόσεις τῆς εὐφροσύνης τοῖς σοῖς προσκυνηταῖς ἐν τοῖς ἀγαθοῖς, ὧν ἀγαθῶν
οὐκ ἔστιν ἀλλαγή, οὐδὲ ἐκβολὴ τῶν δεδομένων δωρεῶν.

40 ἡ δὲ πορεία τῆς ἀρχούσης τῆς νυκτὸς τῷ θελήματι τοῦ σοῦ μονογε-
νοῦς τύπον τῆς ἀναστάσεως βαστάζουσα φέρει, καὶ δείκνυσι πᾶσι τοῖς γηγενέσιν
τὸ θάρσος τῆς τῶν νεκρῶν ἀναστάσεως· ἀπὸ δυσμῶν γὰρ εἰς ἀνατολὴν πορευ-
ομένη εἰς νεότητα, πάλιν τῷ σῷ βουλήματι εἰς δυσμὰς γηράσασα φθάνει, κη-
δεύεται, θάπτεται, μηνύτρια τῶν τεθαμμένων νεκρῶν τῆς ἀναστάσεως γίνεται,
παραμυθίαν καὶ θάρσος τοῖς ποιήμασι προσφέρει, τὴν παρουσίαν τοῦ σοῦ υἱοῦ
σημαίνει ἐξ οὐρανοῦ, καὶ τὴν ἀνακαίνισιν τῆς οἰκουμένης ἐπινεύει, καὶ τὴν ἔκλει-
ψιν καὶ τῆξιν τῶν ἁμαρτωλῶν διδάσκει, || καὶ τὴν τῶν δικαίων ἔκλαμψιν ἐν τῇ 81
βασιλείᾳ τῆς σῆς παρουσίας, τὴν ἀπαίτησιν τῶν ἐν ταῖς | ἁμαρτίαις παλαιωθέν- 34[2]
των δεικνύειν. καὶ γὰρ δὴ μηνύει ἡ ἐκλείπουσα σὲ τὸν αἰώνιον, ἡ φθαρτὴ τὸν
ἀκήρατον, ἡ παλαιουμένη τὸν ἀνακαινιστὴν αὐτῆς, ἥτις τῷ σῷ θελήματι ἀλλοι-
οῦται ἐν σχήμασι, καθ᾽ ὡς τὸ σὸν θέλημα ἐκέλευσεν γενέσθαι, ἕως οὗ ἐπαρ-
θῶσι τὰ αἰνίγματα, ἃ ἔθου καὶ ἡτοίμασας εἰς ἡμέραν τῶν σῶν ἐπαγγελιῶν, ὅτε
ποιεῖς πᾶσιν ἀνταπόδοσιν διὰ τοῦ μονογενοῦς σου καὶ τοῦ ἁγίου σου πνεύματος,
ὅτι σή ἐστιν καὶ σοὶ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

41 κύριε παντοκράτορ, ὁ στέφων τοὺς ἐν σοὶ ἠλπικότας καὶ ποιῶν τὸ θέλημα
τῶν σὲ φοβουμένων, καταξίωσόν με, δέσποτα, φυλάξαι τὴν ἐν σοὶ ἐλπίδα καὶ τὸν
μέγαν φόβον ὃν ἐπάξεις τοῖς ὑπεναντίοις καὶ ἀσεβήσασιν ἐν σοί, κἀμοὶ δὸς ὑπο-
μονήν, τελειῶσαι τὸν δρόμον ἐν ταύτῃ τῇ θλίψει || ἐν ᾗ εἰμί, ἰατρὲ τῶν πόνων 82
ἡμῶν, θεραπευτὰ τῶν συντετριμμένων, ἡ ἄνεσις τῶν τεθλιμμένων, ἡ λύσις τῶν
δεδεμένων, ἡ παρά|κλησις τῶν πενθούντων, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, ἡ ἀνά- 35[1]
παυσις τῶν κεκμηκότων καὶ λιμὴν τῶν τεταραγμένων, ὁ ἐπιβλέπων ἐν τῇ σῇ
ἀγαθότητι ἐπὶ τὴν κτίσιν σου, καὶ τρέφων τὰ σύμπαντα ἐν τῇ χρηστότητί σου,
δός μοι λαβεῖν τὸν στέφανον μετὰ τῶν καταξιωθέντων ἀποθανεῖν ὑπὲρ τοῦ ὀνό-
ματός σου, ὧν ἐστὶν εὐδόκιμος ὁ θάνατος ἐνώπιόν σου, ἵνα κἀγὼ καταξιωθῶ
ἁρπαγῆναι εἰς ἀπαντὴν τοῦ ἀγαπητοῦ υἱοῦ σου, ὅταν ἁρπάσῃ τοὺς φίλους αὐτοῦ

68 Gen 1, 14 | 95 Tim β 4, 7 | 99 Psalm ρμδ [קמה], 16? | 2 Ps ριε, 6 = קין, 15

66 κτίστα | 67 φωστῆρα gegen א | 70 ἔχοντας, wo ας durch Sigel geschrieben ist | 80/81 κηδεύετε m[1], von erster Hand verbessert | 86 schr δεικνύει? | 89 ἐνίγματα | 97 ἀπελπισμένων absichtlich erhalten | 1 εὐδόκημος | 2 ἁρπάσει

εἰς τὰς ἀκτῖνας τοῦ ἰδίου φωτός. τοῦ κρῖναι ἐν ἀληθείᾳ πᾶσαν τὴν οἰκουμένην
ἐν ὀργῇ θυμοῦ αὐτοῦ. νῦν οὖν, δέσποτα. ἐνδυνάμωσον τὸν σοῦ δοῦλον ἕνεκεν
τοῦ ὀνόματός σου, ἵνα νικήσωμεν τὰς δυναστείας τοῦ ἐχθροῦ, καὶ ἔπαρον καὶ
83 ἀπόσμηξον τὴν ὁμίχλην τῆς κακῆς εἰδωλολατρείας καὶ ἀθεΐας ‖ τῇ σῇ ἀγάπῃ
ἀπὸ τῶν σῶν ποιημάτων. ὁ θεὶς τὴν ψυχήν σου ὑπὲρ τῶν σῶν προβάτων, μὴ
35[2] ἀφήσῃς τὸ ποίμνιόν σου, ἀλλὰ φέρε εἰς εὐθύτητα. | ὁ μόνος δυνάμενος ἀφιέναι
ἁμαρτίας καὶ συγχωρῆσαι ἀνομίας καὶ ἀδικίας τῶν σῶν κτισμάτων, ἵνα σὲ μό-
νον σέβωνται, καὶ ποιήσωσι τὸ θέλημά σου, καὶ δοξάσωσι τὴν σὴν θεότητα,
καὶ λυτρωθῶσιν ἀπὸ τῶν κριμάτων σου. καὶ ἀπολαύσωσι τῶν ἀκαταλήπτων σου
ἀγαθῶν, ὅπως πάντες καταξιωθῶσιν ἄνευ αἰσχύνης στῆναι ἐνώπιον τῆς μεγαλειό-
τητός σου. καὶ τὸ ἔργον τῆς αὐτῶν ἀγνοίας ἀναμαρτησίαν αὐτοῖς λόγισαι, ἐπειδὴ
σύνηθές σοι ἐστὶν τὰ μὴ ὄντα εἰς τὸ εἶναι παραγαγεῖν καὶ τὰ ἀνύπαρκτα εἰς
γένεσιν κτίσεως.

42 ὁ μὴ ἀφήσας τὸ γένος τῶν ἀνθρώπων ἐν τοῖς ἰδίοις αὐτῶν θελήμασι
πορεύεσθαι, ἀλλ' οἰκτείρας καὶ ἀποστείλας τὸν μονογενῆ σου υἱόν, ὃς ἐλθὼν
84 ἐπέστρεψε τὰ σὰ ποιήματα εἰς τὴν σὴν θεότητα. ὁ κελεύσας κη‖ρυχθῆναι τὰ
εὐαγγέλια ἐν πάσῃ τῇ οἰκουμένῃ, ἐπειδὴ σοῦ μόνου ἐστὶν ἡ δόξα, καὶ σοὶ πρέ-
πει προσκύνησις ἀπὸ πάσης κτίσεως· αὐτὸς γὰρ μόνος εἶ τιμῆς καὶ δόξης ἄ-
36[1] ξιος. οἰκτεί|ρησον οὖν ἐν τῇ χάριτι τῆς σῆς ἀγαθότητος καὶ τὴν χώραν τῆς
Ἀρμενίας, ἵνα καὶ αὐτοὶ γνώσωνται σὲ καὶ τὸν μονογενῆ σου υἱὸν τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν τὸν πεμφθέντα παρὰ σοῦ καὶ ἐνδυσάμενον τὴν ἀνθρωπό-
τητα ἡμῶν, ἐξεικονίσαντα καὶ ἐκτυπώσαντα ἑαυτὸν εἰς τὸ πλάσμα τῶν χειρῶν
αὐτοῦ, ἵνα λάβῃ τὸ ἀνθρώπινον σῶμα καὶ διὰ τοῦ συγγενοῦς προσεγγίσῃ τοὺς
ἀνθρώπους πρὸς αὐτόν. οὐ γὰρ ἐδύναντο οἱ ἄνθρωποι ἰδεῖν τὸ πρόσωπόν σου
καὶ ζῆν. διὰ τοῦτο ἐγένετο ἐν ὁμοιώματι ἀνθρώπων, ἵνα τοὺς ἀνθρώπους ἀξίους
ποιήσῃ τῆς θεότητος αὐτοῦ, καὶ ὅπως τὸ συγγενὲς τοῦ παρ' ἡμῶν σώματος θεα-
85 σάμενοι, τὴν θεό‖τητα τοῦ υἱοῦ τιμήσωμεν ἐν τῇ ἀγαθότητι τοῦ πατρός, καὶ ἐν
αὐτῷ δεξώμεθα χάριτας διὰ τῆς φιλανθρωπίας παρὰ σοῦ. χορηγηθῶσιν οὖν
καὶ ἡμῖν αἱ ἐπαγγελίαι τοῦ εὐαγγελίου σου εἰς τὸν κόσμον τοῦτον, καὶ αἱ εὐερ-
γεσίαι τῆς χάριτος καὶ τῆς ἀγαθότητός σου αἱ πρὸς πάντας ὑπάρχουσαι.
36[2] 43 ὁ ἐπιδαψιλεύων πᾶσι, δὸς ἡμῖν, ἵνα γενώμεθα μάρτυρες τῆς | σῆς θεό-
τητος, παθεῖν ὑπὲρ τοῦ σοῦ ὀνόματος, καὶ ἀποθανεῖν ὑπὲρ τῆς σῆς ἀληθείας,
καὶ ἀνακαινισθῆναι πάλιν ἐν παρουσίᾳ τῆς θεότητός σου. ἦλθες γὰρ αὐτὸς καὶ
ἀπέθανες ὑπὲρ τοῦ πλάσματός σου, καὶ συνέμιξας τὸ θνητὸν ἡμῶν εἰς τὸ σὸν
ἀθάνατον. διὰ τοῦτο καὶ ἡμεῖς ἕως θανάτου γινώμεθα μάρτυρες τῆς σῆς ἀθα-
νασίας, ἵνα συνψηφισθῶμεν εἰς τὸν ἀριθμὸν τῶν σῶν μαρτύρων. τίνας γὰρ ἀν-
ταποδόσεις καὶ ἀμοιβὰς δυνηθῶμεν ποιεῖν ὑπὲρ τῶν σῶν ἀγαθῶν, ἐὰν μὴ τὰς

7 Ioh 10, 11 | 14 Maccab β 7, 28 Rom 4, 17 | 18 Matth 28, 19 | 26 Exod 33, 20 | 27 Phil 2, 7

6 ἀπόσμιξον | 10 σέβονται | 10 ποιήσουσι | 10 δοξάσουσι | 17 ἀπέστειλας | 22 γνώσονται | 28 ποιήσει | 30 δεξάμεθα χάρητας

ψυχὰς ἡμῶν δῶμεν ὑπὲρ ‖ τῶν σῶν ἐντολῶν εἰς εὐδοκίαν τοῦ θελήματός σου, ἵνα 86
γενώμεθα κληρονόμοι τῆς βασιλείας σου μετὰ τῶν εὐαρεστησάντων ἐνώπιόν σου,
ὅπως προσενέγκωμεν τὰς ψυχὰς ἡμῶν θυσίαν τῇ σῇ θεότητι, ἀπολέσωμέν τε
αὐτάς, ἵνα πάλιν εὕρωμεν ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, καὶ σταθῶμεν ἐκ δεξιῶν
σου, τὴν ἀκακίαν ἐνδεδυμένοι μετὰ τῶν προβάτων εἰς τὸ μέ|ρος τῆς δεξιᾶς σὺν 37[1]
τοῖς εὐαρεστήσασιν ἐν εὐφροσύνῃ τῶν ἁγίων τῶν ἠγαπηκότων τὴν σὴν θεότητα.
ἐπειδὴ ἐγένετο ὁ μονογενής σου υἱὸς ἀμνὸς ἀληθινός, καὶ προσήνεγκέν σοι θυ-
σίαν τὴν ἰδίαν ψυχὴν ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ σύμπαντος κόσμου, ὅπως γένηται
μεσίτης καὶ πρεσβευτὴς τοῖς ποιήμασι πρὸς τὸν ποιήσαντα. τοῖς δὲ σπεύσασι δι'
αὐτῆς τῆς εὐαρεστήσεως προσπελάσαι σοι, ἡτοίμασας αὐτοῖς μονὰς ἐν τῇ βασι-
λείᾳ τῆς σῆς θεότητος, καὶ τοῖς μὴ βουλομένοις εἰσελθεῖν εἰς ὑποταγὴν εὐδοκίας 87
τῆς αὐτοῦ παρουσίας αἰωνίους κολάσεις ἐπηγγείλω.

44 νῦν οὖν, δέσποτα ἀγαθοποιέ, ὁ ἐλθὼν καὶ ταπεινωθεὶς καὶ λαβὼν τὴν
τῶν ἀνθρώπων μορφὴν καὶ δεδωκὼς τὴν ψυχήν σου πάσῃ ὑπομονῇ, καὶ μὴ ἀπο-
στρέψας τὸ πρόσωπόν σου ἀπὸ τῆς ἐξουδενώσεως τῶν ἐμπτυσμάτων, καὶ προσ-
ενέγκας τὴν σιαγόνα τῷ παίοντι, ὄξος καὶ χολὴν ὑπὲρ ἡμῶν πεπωκώς, καταγλύ-
κανον τὰς καρδίας τῶν ἀνθρώπων πάντων εἰς τὴν | λατρείαν σου, ἵνα ὑποταγῶ- 37[2]
σιν ὑπὸ τὸν ἡδύτατόν σου ζυγόν, καὶ σωθῶσιν ἀπὸ τῶν αἰωνίων κολάσεων. πε-
πλήρωται γὰρ ἡ γῆ τῆς θεογνωσίας σου, καὶ οἱ ἀπολειφθέντες μὴ ἀποτύχωσι
τῆς ἀληθινῆς σου ὁδοῦ. προορισθῶσιν καὶ αὐτοὶ εἰς τὴν βασιλικήν σου τράπε-
ζαν, καὶ τῆς σῆς ἀπολαύσωσιν ὑπομονῆς. ὁ ὑπὲρ πάντων παραγενόμενος σφαγῆ-
ναι ὡς ἀρνίον, καὶ εὐφράνας ἐν τῷ σώματί σου, ὃ ‖ δέδωκας εἰς σωτηρίαν πᾶσι, 88
καὶ τὸν χειμάρρουν τῆς τρυφῆς ἐδωρήσω, τὸ πανάγιον αἷμα, εἰς λύτρωσιν τοῦ
κόσμου· οἰκτείρησον, ἵνα μνησθῶσιν καὶ ἐπιστραφῶσιν καὶ ἔλθωσι πρὸς σὲ ἅπαντα
τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσωσιν ἐνώπιόν σου οἱ καταβαίνοντες εἰς τὴν γῆν.
αὐτὸς γὰρ δύνασαι πάλιν ἀναστῆσαι καὶ ζωοποιῆσαι καὶ ἀξιῶσαι τῆς σῆς φιλαν-
θρωπίας. ἐν τῷ γὰρ σῷ αἵματι εἰσὶ λελυτρωμένοι καὶ ἐλευθερωθέντες ἀπὸ τῆς
ἐξουσίας τοῦ σκότους. νῦν δὲ γνώσονται σὲ ὑπὲρ ὧν ἀπέθανες· δοῦλοι γὰρ σοῦ
ὑπάρχοντες, | καὶ σοῦ προσκυνηταὶ γένωνται, ὅπως μὴ ἐπέλθῃ ὁ θυμός σου ἐπὶ 38[1]
τοὺς ἀνθρώπους.

45 ποίησον δὲ ἡμᾶς υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας, ἵνα δοξασθῇ τὸ πα-
νάγιον ὄνομά σου ἐν πάσῃ τῇ οἰκουμένῃ· δεδοξασμένος γὰρ καὶ ἀείδιος ὑπάρ-
χεις ἐν τῇ σῇ βασιλείᾳ, ὁ ὢν ἐν τῇ ἀειδιότητι καὶ ἀναρχότητι καὶ ἀκαταληψίᾳ,
‖ ὁ διδοὺς τύπον τῶν παθημάτων τῷ σῷ πάθει διὰ τῆς ταπεινώσεώς σου τοῖς 89
σοῖς ἀγαπητοῖς. ἔδειξας γὰρ διωγμὸν καὶ ἐφανέρωσας θλίψιν τοῖς ἁγίοις σου
διὰ τῶν κολαφισμάτων ἐν τῷ εἰσελθεῖν σε ὑπὲρ ἡμῶν εἰς τὰς κακώσεις. ἡμεῖς
δὲ οἱ γήινοι τί ὅλως παρεισφέρομεν τὰς ἡμετέρας θλίψεις τῶν παθημάτων; αὐ-
τὸς γάρ, δέσποτα, ἐταπεινώθης καὶ ἀνέλαβες ταῦτα, καὶ ἐπῆρας τὸν κίνδυνον

42 Matth 10, 39 | 43 Matth 25, 33 | 46 Ioh 1, 36 | 48 Gal 3, 19 | 49 Ioh 14, 2 | 75 Matth 26, 67

55 πέπωκας | 59 ὁδός. προωρισθῶσιν | 60 ἀπολαύσουσιν | 64 προσκυνήσουσιν | 71 ἄιδιος m[1], αΐδιος m[2] erster Hand | 72 ἀϊδιότητι | 72 ἀναρχώτητι | 74 διωγμον Rand, διωγμῶ Text

καὶ τὰ πάθη τῆς οἰκουμένης. ἐνδυνάμωσον οὖν τὴν ἐμὴν ἀσθένειαν ἐν τῇ ὑπο-
μονῇ καὶ καρτερίᾳ τῆς θλίψεως ἐν ᾗ ἕστηκα, ἵνα χρονίσας διὰ τῶν καυχημά-
38² των ἐν τοῖς βασάνοις ἀξιωθῶ κἀγὼ τοῖς ἀγαπητοῖς σου ἐν ἡμέρᾳ ὅταν | ἀπο-
δώσῃς τὰ ἀνεκδιήγητα ἀγαθά, τὰ τετηρημένα καὶ παραμόνιμα τοῖς πεποιθόσιν
σοι εἰς τὸν αἰῶνα. καὶ ἔτι αὐτοῦ κρεμαμένου οὕτως, ἐλάλησεν ταῦτα πάντα, καὶ
90 ἔγραφον οἱ ὑπομνηματογράφοι διὰ σημείων, ὅτι ἦν ὡς οὐδὲν || λογισάμενος τὴν τά-
νυσιν οὐδὲ τὸν κίνδυνον τῆς συντριβῆς τὸν ἀπὸ ὑγρῶν ῥάβδων. κατεαγμένον γὰρ
ἦν λοιπὸν τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρεβλώσεως. καὶ ἔτι πλείονα τούτων ἐλά-
λησεν ὡς ἐκρέμετο, καὶ γράψαντες προσήνεγκαν τῷ βασιλεῖ. ἑπτὰ γὰρ ἡμέρας
ἔμεινεν. καὶ μετὰ ταῦτα ἐκέλευσεν, καὶ κατήνεγκαν αὐτόν.
V 46 ἤρξατο οὖν λαλεῖν αὐτῷ ὁ βασιλεὺς τῆς Ἀρμενίας Τιριδάτιος καὶ λέ-
γειν· Τί σοι ἔδοξεν, καὶ πῶς ὑπέθου ἐν τῇ καρδίᾳ σου, γενέσθαι κοινωνὸς τῆς
ἐμῆς ζωῆς καθ᾽ ἅπερ ἐκοπίασας ἐκ νεότητός σου ἐν πόνοις; νῦν δὲ προσέθου
ἀποθανεῖν ἀργῶς ἐν ματαιότητι τῶν σῶν λογισμῶν ἐν οἷς ἐστάθης. ἀποκριθεὶς
39¹ δὲ Γρηγόριος ἔφη· | Σπεύδω ἐγὼ ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ δέξασθαι τὴν
αἰώνιον ζωήν. νῦν δὲ κέλευσον ἕνεκεν ἐμοῦ καθ᾽ ὡς βούλει, ὁποῖον δεῖ θάνατόν
91 μοι ἐπενεγκεῖν. ἀποκριθεὶς δὲ ὁ βασιλεὺς || εἶπεν Οὐ δίδωμί σοι ταύτην τὴν χά-
ριν ὥστε γενέσθαι σοι ἀπαλλαγὴν ἐν θανάτῳ διὰ τάχους καὶ παύσασθαι τῶν
βασάνων ἐν τῇ παρὰ σοῦ καλουμένῃ ζωῇ αἰωνίῳ, ἀλλὰ κακῶσαί σε εἰς χρόνον,
ὅπως μὴ γένηταί σοι ταχέως ἀποθανεῖν, ἀλλ᾽ ἐπὶ πολύ σε βασανίσαι, καὶ ἀπαι-
τῆσαι παρὰ σοῦ τὴν καταφρόνησιν τῶν θεῶν καὶ τὴν μονοτονίαν, μὴ βουλομένου
αὐτοὺς σέβειν.

47 καὶ ἐκέλευσε κορμοὺς ξύλων ἐνεχθῆναι, καὶ γενέσθαι σανίδας κατὰ
τῶν ἀντικνήμων τῶν ποδῶν αὐτοῦ, καὶ μετὰ στραγγάλης περισφίγξαι σπαρτίοις
εὐτόνως, ἕως οὗ κατέρρεεν τὸ αἷμα διὰ τῶν ἄκρων τῶν δακτύλων τῶν ποδῶν
αὐτοῦ, καὶ ᾐσθάνθη τῶν πόνων. ἀποκριθεὶς δὲ Γρηγόριος εἶπεν Ἐδόθη μοι δύ-
39² ναμις ὅσον ᾐτησάμην τὸν ποιητὴν τοῦ | κόσμου δοθῆναί μοι. αὐτὸς γὰρ ὑπάρχει
ἀρχιτέκτων καὶ δημιουργὸς ὁρατῶν τε καὶ ἀοράτων πάντων. καὶ ἔλυσαν αὐτὸν
92 ἀπὸ τούτων. καὶ ἐκέλευσεν μετὰ ταῦτα ἥλους σιδηροῦς ἐνεχθῆναι καὶ κατὰ τῶν
πελμάτων αὐτοῦ ἐμπαγῆναι. καὶ λαβόντες ἀπὸ χειρὸς ἔνθεν καὶ ἔνθεν δραμεῖν
αὐτὸν ἐποίουν ὧδε κἀκεῖ. καὶ τὸ αἷμα ἐξεχύνετο, καὶ ἔρρεεν ἀπὸ τῶν ποδῶν αὐ-
τοῦ, καὶ τὴν γῆν σφόδρα κατέβρεχεν. πάλιν οὖν ἔφη αὐτῷ ὁ βασιλεὺς Ἀόρατα
ποιήματα ταῦτά σοι εἰσίν, οὐκ ἐκεῖνα ἃ σὺ οὐχ ὁρᾷς. εἶπεν δὲ αὐτῷ ὁ μάρτυς
Καλῶς εἶπας ὅτι αὕτη ἐστὶν ἡ ἀόρατος δημιουργία τοῦ ἐμοῦ θεοῦ, ἐπειδὴ σπεί-
ρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει, σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ.
κλαίοντες γὰρ κλαίουσιν οἱ τὰ σπέρματα ἀποφέροντες, τοῦτ᾽ ἔστι, κίνδυνοι καὶ
κακουχίαι ἐπιφέρονται ἡμῖν ἕνεκεν θεοσεβείας. ἀλλ᾽ ὅτε τι δρᾶγμα ἐν τῷ ἀμητῷ

92 Cor β 5, 8 | 11 Cor α 15, 43 | 13 Psalm ρκε 6

81 παραμόνυμα | 81 πεποιθῶσίν | 86 ἐκρέμετο natürlich absichtlich erhalten | 88 τηρηδάτιος | 93 δή, vielleicht richtig | 98 βουλόμενος | 3 ἰσθάνθη | 3 ἐδώθη | 4 ἀιτησάμην | 4 δωθηνᾶι, aber ˜ erster Hand in ´ geändert | 13 κλέοντες | 14 κακοχίαι | 14 τί $m^1$, Acut jetzt radiert

ἐλθὼν προσενέγκῃ τοὺς εὐόπτους καρποὺς τοῖς σπείρασι, σὺν τούτοις καὶ τὴν εὐ-
φροσύνην καὶ χαρὰν καὶ ἀ|γαλλίασιν πᾶσαν φέρει. 40[1]

**48** ‖ εἶπεν δὲ ὁ βασιλεὺς Τύψατε αὐτὸν τῷ κλαυθμῷ, σκεύει τῶν δακρύων, 93
ἵνα ἔλθῃ αὐτῷ εὐφροσύνη. καὶ ἐκολάφισαν αὐτὸν εἰς τὴν κεφαλήν, παίοντες
δεινῶς. καὶ ἤρξατο ἐρωτᾶν αὐτὸν ὁ βασιλεὺς καὶ ἔφη Αὕτη ἐστὶν ἡ χαρά; καὶ
ἀπεκρίνατο ὁ ἅγιος Ναί, αὕτη ἐστίν· ἐὰν γὰρ μὴ ὁ ἐργάτης ἱδρῶτα ἐν τῷ καύ-
σωνι τοῦ ἡλίου βαστάξῃ καὶ ὑπομείνῃ, οὐ δράσσεται τοῦ τῆς ἀπολαύσεως καρ-
ποῦ ἐν τῇ χειμερινῇ ἀναπαύσει. ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν Οὐκοῦν ἐν-
ταῦθα κοπίασον ἐργατικῶς διὰ τῶν βασάνων ἐν αἷς ἕστηκας. καὶ ἐκέλευσεν
ἐνεχθῆναι ἅλας καὶ νίτρον καὶ ὄξος δριμύτατον, καὶ ὕπτιον αὐτὸν ἁπλῶσαι, καὶ
τὴν κεφαλὴν ἀσφαλισθῆναι ἐν τῷ κοχλίῳ τῶν τεκτόνων, καὶ καλάμινον αὐλίσκον
πῆξαι ἐν τῇ ῥινὶ αὐτοῦ, κἀκεῖνα ἀναμιγέντα διὰ τοῦ αὐλίσκου καταχέειν εἰς τὴν
κεφαλήν. καὶ μετὰ ταῦτα ἐκέλευσεν, καὶ ἤνεγκαν θύλακον δερμάτινον, καὶ ἐγέ-
μισαν | αὐτὸν καμινιαίας αἰθάλης, ‖ καὶ ἐποίησαν ἵνα μὴ πάνυ μεμέστωται 94 40[2]
ἕνεκεν τῆς δοσοληψίας τῆς πνοῆς, ὅπως εἰσελκύσαντος τοῦ ἐγκεφάλου βασανισθῇ
πικρῶς. καὶ ἐνδύσαντες εἰς τὴν κεφαλὴν τὸ στόμα τοῦ θύλακος, περιέδησαν τῷ
τραχήλῳ αὐτοῦ. καὶ ἔμεινεν οὕτως ἓξ ἡμέρας.

**49** καὶ μετὰ ταῦτα ἐκέλευσεν, καὶ ἠνέχθη ἐπὶ τοῦ βασιλέως, καὶ ἐπῆραν
τὸν θύλακον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ. ἔφη δὲ αὐτῷ ὁ βασιλεὺς Πόθεν ἔρχῃ;
ἆρα ἀπὸ τῆς βασιλείας ἀφ' ἧς παραγέγονας; ἀποκριθεὶς δὲ ὁ Γρηγόριος εἶπεν
Ναί, ἀπὸ γὰρ τῆς βασιλείας ἧς εἶπον, ἐκεῖθεν πάρειμι, ἐπειδὴ κατηξίωσέν με
ὁ θεὸς ταῦτα πάντα παθεῖν διὰ τὸ ὄνομα αὐτοῦ. ἀληθῶς γὰρ περιμένει με ἡ
βασιλεία· ἀντὶ γὰρ τῆς αἰθάλης ἀμαράντινοι στέφανοι, ἀντὶ δὲ ὄξους ἀπέραντοι
εὐφροσύναι. ἐπὶ πλεῖον δὲ ὀργισθεὶς ὁ βασιλεύς, ἐκέλευσεν δῆσαι τοὺς πόδας αὐτοῦ
‖ σπαρτίοις τῶν ἀσκῶν, καὶ κατὰ κεφαλὴν κρεμάσαι, καὶ κατα|χέειν διὰ 95 41[1]
τῆς ἕδρας ὕδωρ εἰς τὸ ἐντὸς αὐτοῦ. καὶ κατενεχθέντα ἐπηρώτα αὐτὸν λέγων
Πείθῃ μοι λοιπόν; ἢ οὐ σέβῃ τοὺς θεοὺς τοὺς δόντας ζωὴν πάσῃ τῇ γῇ καὶ
ἀσφάλειαν; ἀποκριθεὶς δὲ ὁ ἅγιος Γρηγόριος εἶπεν Ἐγὼ κύριον τὸν θεόν μου
προσκυνῶ (αὐτὸς γὰρ ἐστὶν δημιουργὸς καὶ ζωὴ καὶ ἀσφάλεια), καὶ τὸν υἱὸν αὐ-
τοῦ τὸν ποιητήν, ἰσοδύναμον καὶ ἰσουργόν, καὶ τὸ αὐτοῦ πνεῦμα, τὸ πληροῦν σο-
φίας πᾶσαν τὴν οἰκουμένην· τὰ δὲ εἴδωλα τὰ γλυπτὰ καὶ ἐλατά, ξυστά τε καὶ
τορνευτά, οὐδὲ ἔσχον ποτὲ ὡς θεούς, μηδέ μοι γένοιτο σχεῖν ἐν ὅσῳ πνοὴ ἐν τῷ
στόματί μου ὑπάρχει.

**50** ἀποκριθεὶς δὲ ὁ βασιλεὺς ἔφη· Ἐπειδὴ ἐτόλμησεν εἰπεῖν ἐλατοὺς καὶ
ξυστοὺς τοὺς θεούς, ἀπαιτηθήσεται δίκην ὑπὲρ τούτων. καὶ ἐκέλευσεν ξῦσαι τὰς
πλευρὰς ‖ αὐτοῦ σιδηροῖς ὄνυξιν, ἕως οὗ κατηρδεύθη τὸ ἔδαφος ἀπὸ τοῦ αἵματος 96
αὐτοῦ. καὶ εἶπεν αὐτῷ Νῦν ποιήσεις τὸ ἐμὸν θέλημα, Γρηγόριε, παραδοθεὶς τοι-
αύταις βασάνοις; | ὁ δὲ ἅγιος εἶπεν Ἐμοὶ γένοιτο τηρῆσαι τὴν διαθήκην τῆς 41[2]

18 ἐκολάφησαν | 25 καλάμιον m[1], von erster Hand verbessert | 26 ῥινῆ | 27 θύλακαν | 27/28 ἐγέμησαν | 28 καμηνιαίας ἐθάλησ | 29 ὅπως unterm Schreiben aus ὅπον | 37 ἐθάλησ | 43/44 dies αὐτοῦ erster Hand nur am Rande

θεοσεβείας ἣν ἔμαθον ἐκ νέας ἡλικίας μου. ὁ δυνάμενός με ῥύσασθαι ἀπὸ
πάσης θλίψεως καὶ σὲ ἐπιβαλεῖν εἰς τὰς ἀτελευτήτους βασάνους, ὅτι σὺ οὐ γι-
νώσκεις αὐτόν. καὶ τοὺς ἄλλους ἐκφοβεῖς, βουλόμενος ἀποστῆσαι ἀπὸ τῆς λα-
τρείας τῆς αὐτοῦ ἀγάπης. ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν Ποῦ ἐστιν ὁ θεὸς ὁ
ῥυόμενός σε ἐκ τῆς χειρός μου καὶ κρίνων ἐν τοῖς αὐτοῦ κρίμασι καθ᾽ ὡς σὺ
λέγεις; καὶ ἐκέλευσεν ἐνεγκεῖν τριβόλους ἐν κοφίνοις καὶ ἐν τῇ γῇ ῥανθῆναι.
καὶ γυμνώσαντες τὸν Γρηγόριον ἥπλωσαν ἐπ᾽ ἄνω τῶν τριβόλων, καὶ κατεκεντήθη
97 ‖ ὁμοῦ ὅλον τὸ σῶμα αὐτοῦ. σύροντες δὲ αὐτὸν τὸν ἐκκάλυπτον, καὶ περιέστρεφον,
ἕως τοῦ μὴ ἀπομεῖναι τόπον ὁλόκληρον ἐν τῷ σώματι αὐτοῦ.

51 καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ ἤνεγκαν αὐτὸν ἐπὶ τοῦ βασιλέως. ἠρώτα δὲ
42[1] αὐτὸν καὶ ἔλεγεν Θαυμάζω σφόδρα πῶς ἔμεινας ζῶν, | καὶ οὐδὲν ἐλογίσω τοὺς
πόνους, ἀλλὰ καὶ λαλεῖς. ἔδει γάρ σε πάλαι τεθνάναι ἀπὸ τοσούτων βασάνων.
ἀποκριθεὶς δὲ ὁ ἅγιος Γρηγόριος εἶπεν Οὐκ ἔστιν ἐμὸν τὸ ὑπομεῖναι τῇ ἐμῇ δυ-
νάμει, ἀλλὰ διὰ τῆς ἰσχύος καὶ τῆς χάριτος τοῦ ἐμοῦ δεσπότου καὶ τῆς ἐμῆς
προαιρέσεως αἰτούσης αὐτόν, ἵνα καὶ σὺ πεῖραν λάβῃς τοῦ δούλου τοῦ θεοῦ,
ὅπως γνῷς ὡς οὐδεὶς δύναται ἀποχωρίσαι αὐτοὺς ἠλπικότας εἰς τὴν ἀγάπην αὐ-
98 τοῦ. αὐτὸς γὰρ δίδωσι δύναμιν καὶ ὑπομονὴν βαστάζειν τὰς θλίψεις ‖ τῶν πει-
ρασμῶν, ἵνα καταισχυνθῶσιν οἱ ἄνομοι ἐν τῇ ματαιότητι αὐτῶν καὶ ἐν τῇ ἀσε-
βείᾳ καὶ ἀποστασίᾳ κατὰ σὲ ὑπάρχοντες, καὶ σταθῶσι μετ᾽ αἰσχύνης ἐν ἡμέρᾳ
ἐπισκοπῆς καὶ ἐλεγμοῦ αὐτῶν. καὶ ἐκέλευσεν περικνημῖδας σιδηρᾶς γενέσθαι εἰς
τὰ γόνατα αὐτοῦ, καὶ πῆξαι παχεῖς σφῆνας, καὶ ἀνακρεμάσαι αὐτόν, ἕως οὗ ἀ-
πεσπάσθησαν τὰ γόνατα αὐτοῦ. ἔμεινεν δὲ τρεῖς ἡμέρας κρεμώμενος. καὶ τῇ
42[2] τρίτῃ | ἡμέρᾳ κατενέγκαντες ἔστησαν αὐτὸν ἔμπροσθεν τοῦ βασιλέως. ἀρξάμενος
δὲ ὁ βασιλεὺς λαλεῖν, ἔφη αὐτῷ Βλέπεις, Γρηγόριε, ὅτι οὐκ ἐρρύσατό σε ἡ μα-
ταία σου ἐλπὶς εἰς ἣν πεποίθεις, οὐδὲ ἀπέσπασέν σε ἐκ τῶν χειρῶν μου.

52 ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν αὐτῷ Θέασαι σὺ ὅτι μάταιαί εἰσιν αἱ ἐλ-
99 πίδες σου, καὶ οὐκ ἠδυνήθησαν πεῖσαί με οὐδὲ ἐκφοβῆ‖σαί με. ἡ ἐλπίς σου μα-
ταία ἐστίν, καὶ πάντα τὰ ἔργα τῆς πλάνης σου οὐ θεωρεῖς· ὅτι οὐδὲ τὰς βα-
σάνους σου ἐφοβήθην, ἀλλὰ τῇ δυνάμει τοῦ ἐμοῦ δεσπότου πρὸς τὸν ἀντίπαλον
ἐχθρὸν ἤθλησα, ὅστις κρυφαίως διὰ σοῦ πολεμεῖ τὴν ἀλήθειαν, καὶ παρέδωκα
τὸ σῶμά μου εἰς θλίψιν βασάνων. ἐπειδήπερ εἴτε οὕτως εἴτε ἑτέρως, ταχὺ καὶ
ὀψέ ποτε, καθαίρεται τὸ παλαιούμενον σῶμα τοῦτο, ἵνα ἐλθὼν ὁ ἀριστοτέχνης
43[1] καὶ δημιουργός, εὕρῃ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ πάλιν τὸ αὐτὸ παλαι|ούμενον
ὡς ἀπ᾽ ἀρχῆς ἀνακαινίσῃ. ὧν γὰρ εὕρῃ τὰς ψυχὰς ἐν σωφροσύνῃ καὶ ἁγνότητι
καὶ καθαρότητι, χρηστάς τε καὶ πραεῖς ἐν θεοσεβείᾳ μεινάσας, ἀνακαινίζει, καλ-
λωπίζει, ζωοποιεῖ τὰς αὐτὰς ψυχὰς τῷ αὐτῷ σώματι. ὧν δὲ εὑρίσκει τὰς ψυ-
χὰς ἐν ἀνομίαις καὶ ἀσεβείαις μετὰ τῆς ἀθεότητος ἐν εἰδωλολατρείᾳ, ἀναφυῆναι

68 Rom 8, 39

67 λ von λάβης weit jünger auf Rasur | 73 σφίνας | 74 nicht κρεμάμενος m | 76 ἐρύσατό | 82 κρυ-
φέως | 86 ἀνακαινίσει | 86 ἁγνώτητι | 87/88 καλλοπίζει | 89 ἀναφυεῖναι

μὲν ποιεῖ πρὸς ὥραν τὰ σώματα αὐτῶν, ἀλλὰ τὰ αὐτὰ σώματα, τὰς αὐτὰς ψυ- 100
χὰς ἐμβάλλει εἰς τὴν γέενναν καὶ τὸ ἄσβεστον πῦρ καὶ τὴν αἰώνιον κόλασιν,
μάλιστα τοὺς κατὰ σὲ εἰδωλομανοῦντας.

53 ταῦτα ἀκούσας ὁ βασιλεύς, ἐθυμώθη σφόδρα καὶ φησὶν Ἐμοὶ οὐ μέλει
ἵνα ἀνακαινίσῃ σε ὁ θεός σου, οὐδὲ πρόκειταί μοι περὶ τούτου φροντίς. ἀλλ'
ἐπειδὴ εἶπες ὅτι Σὲ ἀσβέστῳ πυρὶ ἐμβαλεῖ, ἐγώ σε ἐνταῦθα τῷ ἐσβεσμένῳ πυρὶ
κατακαύσω, καὶ ἴδω ὁ θεός σου τί ποιήσει. καὶ ἐκέλευσεν λυθῆναι μόλιβδον
ἐν | λέβητι σιδηρῷ, καὶ ἔτι ζέουσαν καταχέειν κατὰ τοῦ σώματος αὐτοῦ. καὶ κα- 43[2]
τεκάη ὅλον τὸ σῶμα αὐτοῦ. καὶ οὐκ ἀπέθανεν, ἀλλ' ἔτι ἔχων δύναμιν ἐν τῷ
ἐπερωτᾶσθαι ἀπεκρίνατο ἐν τάχει. καὶ θαυμάσας ὁ βασιλεὺς τὴν καρτερίαν καὶ
τὴν ὑπομονὴν || αὐτοῦ, σφόδρα ἐξιστάμενος ἔφη Πῶς ἐνυπάρχει ἐν σοὶ πνοὴ ἐκ 101
τοσούτου χρόνου καὶ τῶν δεινῶν βασάνων ἐν αἷς σε κατέκοψα; ἀποκριθεὶς δὲ
Γρηγόριος ἔφη Οὐ πάλαι σοι εἴρηκα ἵνα λάβῃς πεῖραν ὑπομονῆς τοῦ δούλου τοῦ
θεοῦ; δίδωσιν ὑπομονὴν καὶ δύναμιν, καὶ καταισχύνει τοὺς ἔξωθεν αὐτῷ πολε-
μοῦντας καὶ ἀνθισταμένους κατὰ σέ. αὐτὸς γὰρ εἶπεν οὕτως· Οὐ μὴ ἀφήσω
ὑμᾶς οὐδὲ μὴ ἐγκαταλείψω. αὕτη οὖν ἐστιν ἡ διαθήκη αὐτοῦ πρὸς τὸ ἴδιον
πλάσμα καὶ τοὺς ἀγαπητοὺς ἐν τῇ πίστει τῇ πρὸς αὐτόν, ἕως οὗ ἀποδώσει αὐ-
τοῖς ἐν τῇ παρουσίᾳ αὐτοῦ.

54 καὶ ὡς ἔτι ἐσκέπτετο Τιριδάτιος λα|λῆσαι αὐτῷ ἁπαλῶς, καὶ δηλῶσαι 44[1]
καὶ ἀπαγγείλασθαι ὑπάρξεις καὶ τιμάς, αἷς οὐκ ἔμελλεν ὑπακούειν, λογισάμενος
ὡς εἰ μὴ ταύταις πεισθείη, προσθεῖναι αὐτῷ βασάνους καὶ εἰς χρόνον κολάσαι,
ἰδοὺ εἷς || τῶν σατραπῶν προσέρχεται τῷ βασιλεῖ, καὶ ἀρξάμενος λαλεῖν αὐτῷ καὶ 102
διδάξαι πᾶσαν τὴν ἀκρίβειαν τὴν περὶ αὐτοῦ, ἔφη Οὐκ ἔξεστιν αὐτὸν ζῆν· διὰ
τοῦτο οὐ θέλει τὸ φῶς ἰδεῖν οὔτε ἐλεηθῆναι. τοσοῦτος γὰρ χρόνος, καὶ οὐκ
ἔγνωμεν αὐτόν. ἀλλ' οὗτός ἐστιν υἱὸς Ἀνὰκ τοῦ καταδίκου, τοῦ ἀποκτείναντος
τὸν σὸν πατέρα Κουσάρωα καὶ ποιήσαντος σκότος τῇ τῶν Ἀρμενίων χώρᾳ, καὶ
εἰς ὄλεθρον παραδόντος τὴν γῆν ταύτην καὶ εἰς αἰχμαλωσίαν. νῦν οὖν οὐ χρὴ
αὐτὸν ζῆν· υἱὸς γὰρ ἐκδικήσεως ὑπάρχει. καὶ μετὰ τοσαύτας ἐξετάσεις καὶ βα-
σάνους καὶ πληγὰς καὶ φυλακὰς καὶ στρεβλώσεις καὶ κρεμάσεις, ἐν αἷς ἐνέπαιξαν
ἐν αὐτῷ, ἃς ὑπήνεγκεν | διὰ τὸ ὄνομα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ 44[2]
Χριστοῦ, μαθὼν περὶ τούτων τῶν πραγμάτων ὁ βασιλεὺς ὅτι ἀληθῶς υἱός ἐστιν
τοῦ Πάρθου Ἀνὰκ || τοῦ ἀποκτείναντος Κουσάρωα πατέρα αὐτοῦ, ἐκέλευσεν δεδε- 103
μένον αὐτὸν χερσὶ καὶ ποσὶ καὶ τραχήλῳ ἀπαγαγεῖν εἰς τὴν Ἀραρὰτ πατρίδα,
καὶ δοῦναι αὐτὸν ἐν τῇ λόφῃ τοῦ κάστρου ἐν τῇ Ἀρταξὰτ τῇ πόλει, καὶ κατα-
γαγεῖν εἰς τὸ κατώτατον χάος, ὃ ἦν βαθύτατον πάνυ, ἕως οὗ ἐκεῖ ἀποθάνῃ.
καὶ ῥιφεὶς ἔμεινεν ἐν ἐκείνῳ τῷ κρημνῷ ἔτη δεκατέσσαρα.

55 καὶ αὐτὸς οὖν ὁ βασιλεὺς ἐπορεύθη παραχειμάσαι ἐν πατρίδι Ἀραρὰτ

4 Ioh 14, 18

94 φροντήσ, von erster Hand verbessert | 96 wirklich μόλιβδον m | 4 εἶπεν· οὕτως ου | 8 τηρηδά-τιοσ | 10 πισθείῃ προσθῆναι | 10 κολάσει | 15 21 wirklich κουσάρωα m | 18 ἐνέπηξαν | 23 λόφου | 25 ἐν >

ἐν Οὐαλαρσαπὰτ πόλει, τῆς Ἀρμενίων χώρας κατὰ ἀνατολάς. ὁ δὲ βασιλεὺς
Τιριδάτιος ὅλον τὸν χρόνον τῆς αὐτοῦ βασιλείας κατέστρεφεν καὶ ἐπραίδευεν τὴν
γῆν τοῦ τῶν Περσῶν βασιλέως, καὶ τὴν ἐπαρχίαν τῆς Ἀσσυρίας ἐπάταξε δεινο-
45[1] τάταις πληγαῖς. διὰ τοῦτο ἐρρέθησαν οὗτοι οἱ λόγοι ἐν παραβολαῖς λό|γων, ὅτι
ὡς ὁ ἀλαζὼν Τιριδάτιος ἀλαζονευόμενος κατέστρεφεν τὰ τῶν ποταμῶν χείλη, καὶ
104 ἐξήρανε ‖ τὰ ῥεῖθρα τῶν θαλασσῶν ἐν τῇ ἀλαζονείᾳ αὐτοῦ· ἐπειδὴ ἦν σφόδρα
πρὸς τὴν ἀμφίασιν ἀλαζὼν καὶ σεμνός, καὶ δυνατὸς καὶ στερεὸς ὀστέοις, καὶ
εὔσαρκος σώματι· ἀνδρειότατος δὲ καὶ πολεμιστὴς ἄκρως, ὑψηλὸς καὶ πλατὺς
τῇ ἡλικίᾳ. ὅστις πάντα τὸν χρόνον αὐτοῦ πολεμῶν, ἐλάμβανε τὰ νικητήρια ἐν
τοῖς μονομάχοις. κτησάμενος δὲ καὶ ὄνομα καυχήματος, ἔστησεν ἀθλήσεως νί-
κην ἐν ὅλῳ τῷ κόσμῳ ἐν τοῖς ἰδίοις καιροῖς. ἐπάταξεν ἐν πληγαῖς μεγάλαις
τοὺς ἐχθρούς, καὶ ἐζήτησεν ἐκδίκησιν τῶν προγόνων αὐτοῦ. ἔλαβεν σκῦλα
πολλὰ ἀπὸ τῶν τῆς Ἀσσυρίας μερῶν, καὶ ἀφείλετο ὑπάρξεις μεγίστας. ἐνέβαλεν
εἰς ῥομφαίαν τὸ στράτευμα τῶν Περσῶν, καὶ ἀπέσπασεν σκῦλα πολλά. ἐγένετο
45[2] ὁδηγὸς στρατοπεδάρ|χαις Ῥωμαίων, καὶ παρέδωκεν τὰς παρεμβολὰς αὐτῶν. ἐξέ-
βαλεν στρατιὰν Οὔννων, καὶ ᾐχμαλώτισεν τὰ μέρη τῆς Περσίδος.

105 56 ‖ ἐν δὲ τοῖς τεσσαρεσκαίδεκα ἔτεσιν ἐν οἷς γέγονεν ὁ ἅγιος Γρηγόριος
ἐν τῷ κάστρῳ τῆς φυλακῆς ἐν τῷ βαθυτάτῳ χάσματι, γυνὴ μία χήρα οἰκοῦσα
ἐν ἐκείνῳ τῷ κάστρῳ, χρηματισθεῖσα ἀπὸ ὁράματος, καθ' ἑκάστην ἄρτον ποιοῦσα
ἕτοιμον, ἔρριπτεν κάτω ἐν τῷ χάσματι, καὶ οὕτως ἐτρέφετο ἀπὸ τῆς τοῦ θεοῦ
κελεύσεως τὰ ἔτη ἐκεῖνα ἐν οἷς ἔμεινεν αὐτόθι. αὐτὸς οὖν ἐν τῷ κρημνῷ ἐ-
κείνῳ ἐφυλάττετο διὰ τῆς χάριτος τοῦ ἰδίου δεσπότου. οἱ γὰρ ἄλλοι ἄνθρωποι
ῥιφέντες ἐκεῖ ἔθνησκον ἕνεκεν τῆς δεινότητος καὶ τῆς πικρίας καὶ κακότητος τοῦ
τόπου καὶ τοῦ βορβόρου καὶ τῶν ὄφεων τῶν ἐγκειμένων καὶ τῆς βαθύτητος αὐ-
τοῦ. διὰ γὰρ τοὺς κακουργοὺς ᾠκοδομήθη ἐκεῖνος ὁ τόπος καὶ εἰς κόλασιν πάν-
των τῶν καταδίκων τῆς Ἀρμενίων χώρας.

46[1] 57 μετὰ δὲ | ταῦτα ἐκέλευσεν Τιριδάτιος ὁ βασιλεὺς γράμματα καταπεμ-
106 φθῆναι πανταχῇ ‖ τῆς ἰδίας ἐξουσίας ἐν τούτῳ τῷ τύπῳ. Τιριδάτιος βασιλεὺς τῆς
μεγάλης Ἀρμενίας τοῖς μεγιστᾶσι καὶ ἄρχουσι καὶ σατράπαις καὶ ἐπεξουσίαις
καὶ τοῖς λοιποῖς ὑπηκόοις ὑπὸ τὴν ἐμὴν ἐξουσίαν, κωμοπόλεσι καὶ κώμαις καὶ
χωρίοις, ἐλευθέροις τε ὁμοῦ καὶ ἀπελευθέροις πᾶσιν, εἰρήνη. πρόνοια γένηται
ἀπὸ τῆς τῶν θεῶν βοηθείας καὶ πλῆθος ἑτοιμασίας ἀπὸ τοῦ ἀνδρειοτάτου Διός,
φροντὶς δὲ ἀπὸ τῆς δεσποίνης Ἀρτέμιδος, καὶ ἀρετὴ ὑμῖν φθάσῃ ἀπὸ τοῦ ἐνα-
110, 7 ρέτου Ἡρακλέος, πάσῃ τῇ χώρᾳ, καὶ τὰ λοιπά. ‖ ἐν ὅλοις δὲ τοῖς ἔτεσι τῶν αὐ-
τοῦ χρόνων Τιριδάτιος ὁ βασιλεὺς ἐχθρεύσας τῇ τῶν Περσῶν βασιλείᾳ, ἐξεζήτησεν
ἐκδίκησιν διὰ μάχης καὶ πολέμου ἕως τοῦ πληρωθῆναι τὸν χρόνον τῶν δεκατεσ-
46[2] σάρων ἐτῶν τοῦ τὸν πανάγιον Γρηγόριον ἐν τῇ φυλακῇ τοῦ κά|στρου γενέσθαι.
ἦν γὰρ πόλεμος σκληρότατος ἀνὰ μέσον Τιριδάτου βασιλέως καὶ ἀνὰ μέσον τῶν

28 31 53 54 61 τηρηδάτιοσ | 32 ἀλαζονία | 42 στρατίαν οὔννων | 42 αἰχμαλώτησεν | 49 κακώτητοσ | 51 οἰκοδομήθη | 55 = ἐπ' ἐξουσίαις, aber m ohne Trennung und ohne Lenis | 56 ὑπηκούοισ | 59 ἀρτέμηδοσ | 59 φθάσει | 63 erstes τοῦ B, τοῦτον m | 64 erstes ο von σκληρότατοσ unterm Schreiben aus ω | 64 τηρηδάτου

τῆς Περσίδος βασιλέων. πάλιν δὲ δευτέραν διάταξιν κελεύει διαχαράξαι πάσαις
ἐπαρχίαις τούτῳ τῷ τύπῳ· Τιριδάτιος ὁ τῆς μεγάλης Ἀρμενίας βασιλεὺς ταῖς
χώραις καὶ ἐπαρχίαις, σατράπαις τε καὶ στρατηγοῖς καὶ πολίταις, εἰρήνη. ὑ-
γιαίνετε, καὶ γὰρ ἡμεῖς αὐτοὶ ὑγιαίνομεν. ‖ ὑμεῖς ἐπίστασθε πῶς ἄνωθεν καὶ ἀπὸ 111
προγόνων νίκη καὶ εἰρήνη πολλὴ κεχάριστο ἡμῖν διὰ τῆς τῶν θεῶν βοηθείας,
ὅπως πάντα τὰ ἔθνη συμφώνως ὑποτάξαντες ἔσχαμεν. ὅταν γὰρ αὐτοὺς θερα-
πεύειν ἐν σεβάσμασιν οὐκ ἐσπουδάσαμεν, καὶ τὰς διαταγὰς αὐτῶν ὑπερεφρονήσα-
μεν, ἐξέβαλον καὶ ἀπώσαντο ἡμᾶς τῇ ὀργῇ αὐτῶν ἀπὸ τῆς μεγίστης ἡμῶν δε-
σποτείας.

58 νῦν οὖν μάλιστα διὰ τὴν τῶν χριστιανῶν θρησκείαν παραγγέλλομεν ὑ-
μῖν· | πολλάκις γὰρ συμβαίνει εὑρεθῆναί τινα. αὐτοὶ γὰρ πλεῖον γίνονται ἐμπό- 47[1]
διον τῇ τῶν θεῶν λατρείᾳ, ὥστε τοὺς τοιούτους εὑρόντας ὑμᾶς εἰς μέσον ἀγα-
γεῖν. καὶ γὰρ ἀπὸ τῶν βασιλείων δῶρα καὶ τιμὴ κεχάρισται τοῖς φανεροῦσιν·
εἰ δὲ μὴ ἀποδείξουσιν αὐτούς, ἢ καὶ κρύψουσι, καταληφθέντες οὗτοι μετὰ τῶν
καταδίκων λογισθήσονται, καὶ εἰς τὰ βασίλεια ἀχθέντες ἀποθανέτωσαν, ὁ δὲ
οἶκος αὐτῶν τῷ δημοσίῳ ἀποδοθῇ. ‖ εἰ καὶ τὰ μάλιστα οὐκ ἐφεισάμην τοῦ ἐμοῦ 112
ἀγαπητοῦ καὶ εὐεργέτου Γρηγορίου, ὅνπερ ἕνεκεν τούτου τοῦ προστάγματος, πολ-
λαῖς βασάνοις καὶ τιμωρίαις ὑποβαλών, ὕστερον ἐκέλευσα αὐτὸν ἐν τῷ βαθυτάτῳ
κρημνῷ ῥιφῆναι. κἀκεῖσε ἅμα ὑπὸ τῶν ὄφεων βρωθῆναι. οὐδὲ γὰρ τὸν μέγαν αὐ-
τοῦ κόπον ἐλογισάμην τι πρὸς τὴν τῶν θεῶν ἀγάπην καὶ τιμήν, ἵνα καὶ ὑμῖν
ἀπειλὴ καὶ φόβος θανάτου γένηται, καὶ ζήσητε ὑπὸ τὴν αὐτῶν πρόνοιαν, καὶ
| παρ' ἡμῶν εὐεργεσίας εὕρητε. συνίετε. ὑγιαίνετε, καὶ ἡμεῖς ὑγιαίνομεν. 47[2]

59 καὶ ἐγένετο ἐν ἐκείνοις τοῖς καιροῖς, ἐζήτησεν ἑαυτῷ γυναῖκα Διοκλη- VI
τιανὸς ὁ Καῖσαρ πρὸς γάμου κοινωνίαν. καὶ τότε πανταχῇ τῆς ἰδίας δεσποτείας
ἀποσταλέντες περιήεσαν ζωγράφοι καὶ ὁμοιογράφοι, εἰκονογράφοι, ἀκριβογραφεῖς,
καλλωπισταί, ἡλικομέτραι, ἵνα τὴν εὐμορφίαν τῆς ὄψεως καὶ τὸν μέλανα κόσμον
‖ τῶν ὀφρύων ἐν ταῖς σανίσιν ὁμοιογραφήσαντες, διὰ τοῦ τῶν χρωμάτων καλλωπί- 113
σματος ἀποδείξωσιν εἰς τὴν τοῦ βασιλέως ἀρέσκειαν. τότε οὖν παραγενάμενοι
εὑρίσκουσιν ἐν τῇ πόλει τῶν Ῥωμαίων μοναστήριον ἡσυχαστριῶν ἀειπαρθένων,
ἰδιαζουσῶν ἐν ἐρημίαις, ὀσπρίων μόνον κεχρημένων, σεμνῶν, σωφρόνων, ἁγίων γυ-
ναικῶν τῆς τοῦ Χριστοῦ πίστεως, αἳ νυκτὸς καὶ ἡμέρας καὶ ἐν παντὶ καιρῷ δοξο-
λογίας, ὕμνους καὶ τελείας εὐχὰς τῷ θεῷ εἰς | τὸν οὐρανὸν ἀναπέμπουσαι οὐκ 48[1]
ἐπαύοντο. ὀνόματα δὲ ἦν αὐταῖς ταῦτα· τῆς μὲν πρώτης Γαιανή, καὶ τῆς ὑπ'
αὐτῆς ἀνατραφείσης Ῥιψιμία, ἐκ τοῦ βασιλικοῦ καὶ θεοσεβοῦς γένους οὔσης. ἦσαν
δὲ καὶ ἄλλαι σὺν αὐταῖς πλεῖσται.

60 ὅτε οὖν παρεγένοντο οἱ πεμφθέντες, εἰσῆλθον βίᾳ εἰς τὴν μάνδραν τῶν
ἁγίων, καὶ θεασάμενοι τὴν σεμνοτάτην καὶ ἁγιωτάτην Ῥιψιμίαν, ἐξί‖σταντο ἐπὶ 114

66 τηρηδάτιοσ | 66 ἀρμένιοσ m[1] | 75 γίνωνται | 78 am Rande erster Hand ἤ, im Texte εἰ mit einem tadelnden Punkte darüber | 80 ἀποδωθῇ | 86 Ende folgt ⋇ ἐντεῦθεν τὰ κατὰ τὰς ἁγίας γυναῖκας erster Hand in kleinen Uncialen | 89 ἀποσταλέντοσ περιΐεσαν | 89 ἀκριβωγραφεῖσ m[1], unterm Schreiben gebessert | 94 ὀσπρέων | 94 κεχρημέναισ

τὸ κάλλος αὐτῆς. εὐθέως δὲ ἐν ταῖς σανίσιν ὁμοιογραφήσαντες, πρὸς τὸν Καίσαρα ἔδραμον. ὅτε οὖν ἐθεάσατο ὁ βασιλεὺς τὸ λαμπρότατον κάλλος ἐν τῇ ζωγραφίᾳ τῆς Ῥιψίμης, ἐμφανῶς ἐν ἐπιθυμίᾳ τοῦ ἔρωτος διὰ τὸ ἀθέμιτον αὐτοῦ ἦθος ἐσκοτοῦτο ἐπειγόμενος. προθεσμίαν δὲ ὁρίσας, ἔσπευδεν καὶ ὠχλεῖτο τὴν γαμικὴν εὐφροσύνην ἐπιτελέσαι. τότε διὰ τάχους ἀγγέλους ἔπεμπεν πάσῃ τῇ ἰδίᾳ
48² ἐξουσίᾳ, ὅπως πάντες δωροφόροι γένωνται τῷ μεγάλῳ γάμῳ, καὶ ἐν | πλείστῃ χαρᾷ ἐρχομένους ὁμοῦ πάντας ἐπιτελεῖν τὴν τοῦ βασιλέως διαταγὴν κατὰ τοὺς νόμους τῶν βασιλικῶν γάμων. θεασάμεναι οὖν αἱ πανάγιαι τὰ κρυφοπομπαῖα βέλη
115 τοῦ ἐχθροῦ ἐν οἷς πέμπει τοξεῦσαι || τοὺς τοῦ Χριστοῦ ἁγίους, ἐθλίβοντο.

61 σκεῦος γὰρ ὀργῆς εὑρὼν τὸν βασιλέα καθ' ἅπερ ἐν παραδείσῳ τὸν ὄφιν, ὑπηρέτην ποιησάμενος τὸν αὐτὸν τρόπον, καὶ ἐνθάδε τὸν παράνομον τοῦτον ὡς θυρεὸν ἔχων, κατὰ πρόσωπον τὰς τοῦ θεοῦ ἐκκλησίας δι' αὐτοῦ ἐπολέμει. ἀναστήσας γὰρ αὐτὸν ἐν ὑπερηφανίᾳ καὶ διεστραμμένῃ καρδίᾳ, καὶ παγίδα στήσας ὁ μισόκαλος, παρώτρυνεν αὐτὸν εἰς τὸ ἐξεγεῖραι διωγμὸν κατὰ τῶν τοῦ θεοῦ ἐκκλησιῶν. διαστραφεὶς γὰρ τὸν νοῦν καὶ ἐξεστηκώς, προσκυνεῖ τὰς τῶν νεκρῶν στήλας καὶ χρυσᾶ καὶ ἀργυρᾶ καὶ ξύλινα καὶ χαλκᾶ ἰνδάλματα τῷ σεβάσματι, καὶ ἅμα
49¹ ἀλαζονευόμενος προσκροῦσαι τῇ στερεᾷ πέτρᾳ | τῆς τῶν ἐκκλησιῶν πίστεως ἐνεθυμεῖτο, οὐ μόνον μὴ ἰσχύσας τὴν πέτραν μαλάξαι, ἀλλὰ καὶ συντριβεὶς κατε-
116 πόθη ἐχόμενα πέτρας ὁ ἄδικος κριτής. ὁμοίως || δὲ τῇ μανιώδει ἀλαζονείᾳ ἐπὶ πλεῖον ἐπαρθείς, πολλὰ δεινὰ ἐποίησε τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ.

62 θεασαμένη οὖν ἡ μακαριωτάτη Γαιανὴ σὺν τῇ ἁγίᾳ Ῥιψίμῃ καὶ ταῖς λοιπαῖς σεμνοτάταις καὶ ἁγιοτρόποις γυναιξίν, ἐμνήσθησαν τῆς ἁγνῆς ἀποταγῆς καὶ τοῦ σεμνοῦ βίου καὶ τῆς ἐπιπόνου διαγωγῆς καὶ τροφῆς, ἐν αἷς ἦσαν ἔκπαλαι παιδευθεῖσαι. τότε οὖν ὀλολύζουσαι ἐν ἑαυταῖς διὰ τὴν ἀπόδειξιν τῆς κατ' αὐτῶν διαγνώσεως τῆς ἐπὶ τοῦ μιαρωτάτου καὶ παρανόμου βασιλέως διὰ τῆς εἰκόνος αὐτῶν γενομένης, εἰς εὐχὰς καὶ ἐπιπονωτέρας ἀσκήσεις τραπεῖσαι, παρεκάλουν τὸν πανε-
49² λεήμονα θεὸν βοηθῆσαι αὐταῖς καὶ ἐξελέσθαι αὐτὰς τοῦ πειρασμοῦ. καὶ οὕτως | ἐν τῇ προσευχῇ ἔλεγον· Κύριε τῶν κυριευόντων καὶ θεὲ τῶν θεῶν, ὁ θεὸς ἀνεκλαλήτου φωτός, ὁ στήσας τὰ σύμπαντα τῷ σῷ λόγῳ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
117 γῆν καὶ πά||ντα τὸν κόσμον αὐτῶν, ὁ πλάσας τὸν ἄνθρωπον χοῦν ἐκ τῆς γῆς καὶ σοφίαν ἐνδύσας καὶ πληθύνας αὐτὸν ἐπὶ πᾶσαν τὴν γῆν, καὶ βοηθήσας ἑκάστῳ ἐν τοῖς ἰδίοις καιροῖς, τοῖς ἐν σοὶ πεποιθόσιν, βοήθησον καὶ ἡμῖν, δέσποτα, ἐν τῷ θλίβοντι ἡμᾶς πολέμῳ, ἵνα νικήσωμεν τὰς δολίας καὶ δεινὰς τοῦ ἐχθροῦ παγίδας, καὶ τὸ ὄνομά σου, δέσποτα, δοξασθῇ, καὶ τὸ κέρας τῆς σῆς ἐκκλησίας ὑψωθῇ, καὶ ἡμεῖς καταξιωθῶμεν φθάσαι εἰς τὰς μονὰς τῆς βασιλείας σου.

63 καὶ μὴ γένοιτο λεῖψις τῶν ἡμετέρων λαμπάδων, καὶ μὴ σβεσθῶσιν οἱ λύχνοι τῆς πίστεως καὶ τῆς ἁγνῆς ἀποταγῆς ἡμῶν, καὶ μὴ καταλάβῃ γνοφερὸν

11 Ieremias 50, 25 | 18 Tim β 2, 19 | 28 Matth 6, 13 | 30 Gen 2, 1 | 36 Ioh 14, 2

2 κ von κάλλος erster Hand über etwas Anderem | 4 ἀθέμητον | 5 ὀχλεῖτο | 6 δηα | 15 μισόκαλλος | 16 ἐξεστικῶς | 20 μανιώδη ἀλαζονία | 23 ἁγιοτρόφοις | 25 παιδευθῆσαι | 26 τῷ μιαρωτάτω | 27 ἐπιπονοτέρας | 27 τραπῆσαι | 29 auch nach θεὸς ein ὁ

σκότος τὰς φωτοειδεῖς ἡμῶν πορείας, καὶ μὴ ὑποσκελισθῶμεν τοῖς ποσὶν ἀπὸ τῶν
λαμπροτάτων σου ἰχνῶν, καὶ μὴ τυφλωθῶσιν | τὰ βλέφαρα τῆς ὁράσεως ἡμῶν 50[1]
ἐν ταῖς ἱλαρωτάταις ἀκτῖσι τῆς σῆς ἀληθείας, καὶ μὴ ἁρπάσῃ τὸ θανατηφόρον 118
πετεινὸν τὰ σπέρματα τῆς ζωῆς, τὰ σπαρέντα ἡμῖν ὑπὸ τοῦ μονογενοῦς σου υἱοῦ,
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μὴ ἀπενέγκηται τοῦ ἁγίου σου ποιμνίου τὴν
σεμνότητα ὁ ἀποστάτης θήρ, καὶ μὴ διασπαράξῃ τὰ ἀρνία τῶν σῶν προβάτων
ὁ λύκος ὁ διαφθορεύς, καὶ μὴ διασκορπίσῃ ὁ ἐχθρὸς τῆς ζωῆς ἡμῶν τὰ ἀπο-
στολικὰ πρόβατα τῆς σῆς ἀγέλης. κύριε ὁ θεὸς ἡμῶν, ὁ ἀποστείλας τὸν μονο-
γενῆ σου υἱόν, ἵνα ἐλθὼν ἐμπλήσῃ πάντα τὰ πέρατα τῆς πνευματικῆς γνώσεως,
ὅπως πάντας ἐν ὀνόματι Ἰσραὴλ βλέπειν τὸν θεὸν ποιήσῃ, καὶ ἡμεῖς ἠκούσα-
μεν εἰπόντος Ἐὰν διώξωσιν ὑμᾶς ἀπὸ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν·
ἀμὴν λέγω ὑμῖν, οὐ μὴ πληρώσητε τὰς πόλεις τοῦ Ἰσραὴλ ἕως τῆς ἐμῆς παρου-
σίας. καὶ νῦν, δέσποτα, φεῖσαι τῶν ἐπὶ τῷ ὀνόματί σου πεποιθυιῶν ψυχῶν, ἵνα
μὴ ἀναμιχθῶ|μεν μετὰ ‖ τῆς ἀτίμου βδελυρίας τῶν ἐθνῶν. καὶ μὴ δῷς τὴν 119 50[2]
τῆς ἁγνείας ἡμῶν σωφροσύνην πορνικῇ καὶ μοιχαλίδι καὶ κυνικῇ ἀναιδείᾳ, καὶ μὴ
τὸν μαργαρίτην τῆς παρθενικῆς ἡμῶν πίστεως τοῖς πορευομένοις χοίροις ἐν βορ-
βόρῳ τῆς ἀσεβείας.

**64** μὴ ἀποκινήσωσι πλήθη χειμάρρων ἀνέμῳ πλάνων ἐν τῇ σφοδρότητι τῆς
ἀπάτης τὰ θεμέλια τῆς ἁγίας σου ἐκκλησίας, ἥτις ἐν πολυτίμοις λίθοις τῶν σῶν
δικαίων ᾠκοδομήθη ἐπὶ τῇ στερεᾷ πέτρᾳ, ἧς ἐγένετο ἀκρογωνιαῖος κεφαλὴ ὁ
κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῆς αὐτοῦ σαρκώσεως καὶ τοῦ θανάτου καὶ τῆς
ἀναστάσεως καὶ ἀναλήψεως εἰς οὐρανὸν καὶ καθέδρας ἐν τῇ δεξιᾷ τῆς σῆς θεό-
τητος, ὅπου ὑπῆρχε τὸ πρότερον. ἔπιδε οὖν, δέσποτα, ἐκ τῶν οὐρανῶν τῶν ἁγίων
σου. ἵνα μὴ γενώμεθα κατὰ τὸν οἰκοδομηθέντα οἶκον ἐπὶ τὴν ἄμμον ὃν ἐσάλευ-
σαν ταραχαὶ καὶ πειρασμοὶ θλίψεων, ἀλλὰ στερέωσον ἡμᾶς ἐν τῇ ἀληθείᾳ τοῦ 120
εὐαγγελίου τῆς εἰρήνης, | καὶ ὁδήγησον ἡμᾶς κατὰ τὸ σὸν θέλημα, καὶ κατα- 51[1]
ξίωσον ἡμᾶς τοῦ τῆς νυκτὸς φωτοειδοῦς γάμου, ἐν ᾧ τὴν νύκτα ὡς ἡμέραν φω-
τίσεις ἐν τῷ ἀνατέλλειν τὰς ἀκτῖνας τοῦ προσώπου τῆς σῆς δόξης. σκέπασον
ἡμᾶς ὑπὸ τὰς πτέρυγάς σου, ἵνα φθάσωμεν εἰς τὸν λιμένα τοῦ θελήματός σου,
καὶ δὸς ἡμῖν ὅπως πίωμεν τὸ ποτήριον τῆς ἀθλήσεως καὶ ληψώμεθα τὸν τῆς
ἀντιμισθίας στέφανον ἐν ἡμέρᾳ τῆς δικαιοκρισίας καὶ ἀποκαλύψεως
τῆς δόξης σου.

**65** καὶ μετὰ ταῦτα ἡ ἁγία Γαιανὴ μετὰ Ῥιψίμης καὶ τῆς λοιπῆς συνοικίας
καὶ τῆς σεμνοτάτης συνοδίας ἐξελθοῦσαι, ἐπορεύοντο φεύγουσαι, ἵνα τὰς ἑαυτῶν

42 Matth 13, 4 | 48 meine Onomastica sacra unter *Israel* | 49 Matth 10, 23 | 54 Matth 7, 6 | 58 Matth 7, 24 | 58 Petr α 2, 6 | 62 Matth 7, 26

41 ἱλαροτάταις | 41 ἁρπάσει | 43 ἀπενέγκοιτο | 45 διασκορπίσει | 47 ἐμπλήσει | 48 ποιήσει | 49 δειώξουσιν, unter ει verweist ein Zeichen erster Dinte auf den — leeren — Rand: oder ist das Zeichen ein ι? | 53 μυχαλλίδι | 56 ἀποκινήσουσι | 58 οἰκοδομηθῆσαν | 58 ἀκρογονιαῖος | 61 ἔφιδε | 64 ὠδήγησον | 68 πίομεν | 68 ληψόμεθα | 69/70 vier Fünftel als Schluß der Einen, ein Fünftel als Anfang der anderen Zeile sind leer gekratzt. Reagenzien werden kaum helfen | 71 ταῖς λοιπαῖς συνοίκοις | 72 ἐπορεύονται

ψυχὰς ἐν ἁγνότητι τηρήσωσιν ἐν τῷ φιλαμαρτήμονι τούτῳ κόσμῳ ἀπὸ τῶν παρα-
121 νόμων ἀνθρώπων. ἠπείγοντο γὰρ καταλαβεῖν τὴν τῆς ζωῆς καὶ τῆς ἀναστάσεως
51[2] ἐλπίδα εἰς τὴν ἀποστολικὴν πορείαν, ἐκ|φυγεῖν τὴν ἀτελεύτητον κόλασιν προθέ-
μεναι καὶ μετὰ τῶν ἐκ δεξιῶν προβάτων γενέσθαι, καὶ τῶν ἐπηγγελμένων ἀγα-
θῶν ἐπιτυχεῖν, ἀειθαλέσιν στέμμασιν ἐπιθυμοῦσαι καλλωπισθῆναι, μετὰ τῶν πέντε
παρθένων ἐν ἔργοις ἀγαθοῖς φωτισθεῖσαι. τῆς λαμπροτάτης ἀναπαύσεως τοῦ πα-
ραδείσου καὶ τοῦ θεϊκοῦ νυμφίου καὶ συναγωγῆς δικαίων καὶ ἀνακλίσεως τοῦ
πατριάρχου Ἀβραὰμ καὶ τῆς ἀδιαλείπτου εὐφροσύνης ἔσπευδον κληρονόμοι γε-
νέσθαι, καθ' ὡς καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ἔφη Εἴ τις ἀφήσει πάντα διὰ τὸ
ὄνομά μου, ἐν τῇ δευτέρᾳ παρουσίᾳ ζωὴν αἰώνιον κληρονομήσει. οὐχ ὡς τὸν πρό-
σκαιρον θάνατον φεύγουσαι, ἀλλ' ἀπὸ τῆς μανιώδους καὶ ἀκαθάρτου ἐπιθυμίας
122 ἀποσπα‖σθεῖσαι. οὐδὲ γὰρ ἔμελλεν αὐτῶν τὰ σώματα παραδοῦναι βασάνοις,
52[1] , ἀλλ' ἵνα τὰς ψυχὰς αὐτῶν ἐν ἁ|γνότητι φυλάξασαι ἀπὸ ῥύπου τῆς
ἀκολάστου ἐπιθυμίας καὶ τῆς βδελυρᾶς καὶ ἀθεμίτου διαγωγῆς τῶν ἀνθρώπων
ἀποχωρισθῶσιν.

**66** ἐπεὶ πάλαι ἕτοιμαι ὑπῆρχον φυλακαῖς καὶ δεσμοῖς καὶ διαφόροις θλί-
ψεσιν, καὶ αὐτοῦ τοῦ θανάτου πεῖραν λαβεῖν ἕνεκεν τοῦ ὀνόματος τοῦ πάντων δε-
σπότου, ὅπως ἀξιωθῶσιν τοῦ τῆς δικαιοσύνης στεφάνου, διὰ τοῦτο ἀφῆκαν τὴν
γῆν τῆς γεννήσεως αὐτῶν καὶ τὰ χρήματα καὶ τοὺς συγγενεῖς, ἵνα τὴν θεϊκὴν
παραγγελίαν πληρώσασαι, ἰδεῖν τὸν θεὸν δυνηθῶσιν. τότε οὖν ἐλθοῦσαι φθάνου-
123 σιν τὰ ὅρια τῆς Ἀρμενίας, εἰς Ἀραρὰτ τὴν πατρίδα καὶ Οὐαλαρσαπὰτ ‖ τὴν κα-
λουμένην Νέαν πόλιν, κεκτισμένην εἰς οἰκητήριον τῆς τῶν βασιλέων Ἀρμενίας.
ἐλθοῦσαι οὖν εἰσέρχονται εἰς τὰς ληνοὺς τῶν ἀμπελώνων, αἵ εἰσιν ᾠκοδομημέναι
52[2] ἀπὸ βορρᾶ κατὰ ἀνατολάς, | καὶ ἐτρέφοντο ἐκ τῶν ἰδίων ἀπὸ τῆς ἀγορᾶς τῆς πό-
λεως, μηδὲν μὲν ἔχουσαι μεθ' ἑαυτῶν, ἀλλ' ὅτι μία ἐξ αὐτῶν εἰδυῖα ὑελουργεῖν,
τῆς ἐφημέρου τροφῆς αὐτῶν ἐχορήγει τὰς χρείας.

**67** τότε δὴ οὐ μικρὰ ταραχὴ ἐγίνετο ἐν τῇ Ῥωμαίων χώρᾳ, καὶ πανταχῇ
πέμπονται εἰς ζήτησιν, εἰ δυνατὸν εὑρεῖν αὐτάς. φθάνουσιν οὖν ἐν ἐκείνῳ τῷ
καιρῷ ἄγγελοι πρὸς Τιριδάτην βασιλέα Ἀρμενίας ἐν αὐτῇ τῇ Οὐαλαρσαπὰτ πό-
λει. καὶ ὡς προσήνεγκαν τὴν ἐπιστολήν, ἐδέξατο μετὰ χαρᾶς. ἦν δὲ τοῦτον τὸν
124 τύπον ἔχουσα· ‖ Αὐτοκράτωρ Καῖσαρ Διοκλητιανὸς τῷ ἀγαπητῷ ἀδελφῷ καὶ συν-
θρόνῳ μου Τιριδάτῃ. γνωρίζω τῇ σῇ ἀδελφότητι καὶ ἐμῷ συμμάχῳ τὰς συμφο-
ρὰς ἅσπερ διὰ παντὸς πάσχομεν ἀπὸ τῆς πεπλανημένης θρησκείας τῶν χριστια-
53[1] νῶν. πάντοτε γὰρ ἐξουδενεῖται ἡ | ἡμετέρα δεσποτεία ἀπὸ τῆς αὐτῶν συναγωγῆς,

76 Matth 25, 33 | 77 Matth 25, 2 | 81 Luc 5, 11

73 ἁγνώτητι [ω scheint erster Hand zu ο gemacht zu sein] τηρήσουσιν [ου zu ω ?] | 77 καλλοπισθῆναι | 78 φωτισθῆσαι | 79 ἀνακλήσεως | 81 ἀφήση | 84 ἀποσπασθῆσαι | 84 αὐταῖς | 84/85 Seitenstück zu dem 69/70 Beobachteten | 86 ἀθεμήτου | 88 ἑτοιμάι m[1] | 91 θεϊκῆς m[1] | 92 παραγγελείαν | 95 οἰκοδομημέναι | 97 εἰδοῦσα m, vielleicht zu erhalten, da der Uebersetzer Griechisch nur schlecht versteht | 97 ὑελουργεῖν = **ապակագործութիւն** 123, 10: meine armenische Studien § 154: die Anmerkung in B ist mithin werthlos | 1 τηρηδάτην | 4 τηρηδάτη

καὶ καταφρονεῖται ἡ βασιλεία ἡμῶν ὑπ᾽ αὐτῶν. αὐτοὶ γὰρ νεκρόν τινα καὶ ἐ-
σταυρωμένον σέβουσιν, καὶ ξύλον προσκυνοῦσι, καὶ τὰ ὀστᾶ τῶν τεθνηκότων τι-
μῶσι, καὶ τὸν ἐξ αὐτῶν θάνατον ὑπὸ τοῦ θεοῦ αὐτῶν δόξαν καὶ τιμὴν ἡγοῦνται.
καὶ ἀπὸ τοῦ ἡμετέρου νόμου κατακέκρινται, ἐπειδὴ καὶ τοὺς ἡμετέρους προγόνους,
τοὺς ἀρχαίους πατέρας καὶ βασιλεῖς, ἐσίαναν, καὶ τὰ ξίφη ἡμῶν ἤμβλυναν, αὐ-
τοὶ δὲ οὐκ ἀπέκαμον τοῦ ἀποθανεῖν. πεπλάνηνται οὖν ἐν τινὶ Ἰουδαίῳ ἐσταυρω- 125
μένῳ. καὶ τοὺς βασιλεῖς ἀτιμάσαι διδάσκουσι, καὶ αὐτοὺς τοὺς θεοὺς ἐξουθενοῦν-
τες, ἀλλὰ καὶ τὰς δυνάμεις τῶν φωστήρων, ἡλίου τε καὶ σελήνης ἅμα τοῖς λοι-
ποῖς ἄστροις ὡς οὐδὲν λογίζονται, ἀλλὰ ποιήματα λέγουσιν εἶναι αὐτοῦ τοῦ ἐσταυ-
ρωμένου. καὶ τὴν γῆν ἅπασαν μετέστησαν ἀπὸ τῆς τῶν θεῶν λατρείας, ὥστε καὶ
τὰς γυναῖκας | ἀπὸ ἀνδρῶν καὶ τοὺς ἄνδρας ἀπὸ γυναικῶν ἔτι ζώντων ἀποχωρί- 53²
ζουσιν.

68 εἰ καὶ μεγίσταις ἀπειλαῖς καὶ διαφόροις βασάνοις ὑπεβλήθησαν, περισ-
σοτέρως ἀνήφθη καὶ διέλαβεν καὶ διεδόθη ἡ θρησκεία αὐτῶν, καὶ ὅσον προ-
σεθήκαμεν τὰς ἐκφοβήσεις, ἡ αἱματοχυσία αὐτῶν ὑπὲρ τὸ δέον ἐπλεόνασεν τὴν
διδαχὴν αὐτῶν. συνέβη οὖν θεωρεῖν με ἀ‖πὸ τῆς αὐτῶν θρησκείας νεάνιδα μίαν εὐ- 126
μορφωτάτην παρθένον, καὶ βουλομένου μου λαβεῖν αὐτὴν εἰς γυναῖκα, ἐτόλμησαν
καὶ ταύτην δολιεῦσαι ἀπ᾽ ἐμοῦ, καὶ οὐδὲ ὡς βασιλέα ἐπεθύμησαν, οὐδὲ τὰς ἀπει-
λάς μου ἐφοβήθησαν, μᾶλλον δὲ διὰ τὴν θρησκείαν αὐτῶν βδελυκτὸν καὶ ἀκά-
θαρτον καὶ σιαντὸν ἐλογίσαντό με. δι᾽ ὃ καὶ τὴν τροφὸν μετὰ τῆς νεάνιδος εἰς
τὰ μέρη τῆς ὑμετέρας δεσποτείας προπέμψαντες ἐφυγάδευσαν. φροντὶς οὖν σοι
γένηται, ἀδελφέ μου, ζητῆσαι ἐν ἐκείνοις τοῖς μέρεσι, καὶ εὑρεῖν τὰ ἴχνη αὐ|τῶν, 54¹
καὶ τὰς μετ᾽ αὐτῆς ἅμα τῇ τροφῷ θανάτῳ ἀπαλλάξαι, καὶ τὴν ἀπατηθεῖσαν θεο-
ειδῆ εὐμορφωτάτην ἐμοὶ ἐνθάδε ἀποστεῖλαι. εἰ δὲ ἀρέσει σοι τὸ κάλλος τῆς ὄψεως
αὐτῆς, σεαυτῷ τηρήσῃς. οὐ γὰρ ἀνευρέθη ὁμοία ταύτης ἐν τῇ Ἰωνίων ‖ χώρᾳ. 127
ὑγίαινε ἐν πάσῃ τιμῇ ἀπὸ τῆς τῶν θεῶν λατρείας.

69 καὶ ἐγένετο, ὡς ἀνεγνώσθη ἡ διαταγὴ τῆς ἐπιστολῆς ταύτης, ἐκέλευσεν
ὁ βασιλεὺς μετὰ πλείστης σπουδῆς καὶ παραγγελίας, ἵνα πάντας τοὺς τόπους τῆς
αὐτοῦ ἐξουσίας ἐξετάσαντες, ἐν τάχει ἐκζητήσωσιν. δρομαίους οὖν ἔπεμπεν παν-
ταχῇ, ἵνα εὑρόντες εἰς μέσον ἐνέγκωσιν. τοῖς δὲ εὑρίσκουσιν αὐτὴν μεγάλας δω-
ρεὰς ὑπισχνεῖτο. καὶ ὡς ἔτι αὕτη ἡ ταραχὴ ἐν τοῖς τῆς Ἀρμενίας μέρεσιν ἐκι-
νεῖτο, αἱ πανάγιαι μάρτυρες ἐκεῖναι ἐκρύπτοντο ἐν τῇ βασιλευούσῃ πόλει Οὐαλαρ-
σαπάτ, καὶ μετ᾽ οὐ πολὺ εὑρεθεῖσαι ἐγνώσθησαν. οὐδὲ γὰρ ἔδει κρυβῆναι | τὴν 54²
τῶν μαρτύρων ἀλήθειαν, οὐδὲ τὸν λύχνον τοῦ φωτὸς αὐτῶν ὑπὸ τὸν μόδιον σκε- 128
πασθῆναι, ἐπὶ χρυσαῖς δὲ μᾶλλον λυχνίαις ἐπιτεθῆναι τὸ μύρον τῆς εὐωδίας τῆς
πίστεως καὶ τῆς δικαιοσύνης αὐτῶν, καὶ τὸ φῶς τῆς θεογνωσίας διαδοθῆναι, ὡς

40 Matth 5, 15

7 καταφρονῆται | 10 κατακέκρεινται | 19/20 περισσωτέρωσ | 20 διεδώθη | 22/23 εὐμορφοτάτην m[1], erster Hand ω über der Zeile | 26 τροφῶν m[1], erster Hand ο über der Zeile | 29 ἀποτηθεῖσαν, unterm Schreiben verbessert | 31 ἀνευρεθῆ | 32 ὑγίειναι m[1], ὑγίεινε m[2] | 34 πλήστησ | 35 ἐκζητήσουσιν | 36 τοὺσ m = τοῖς | 37 ὑπεισχνεῖτο | 37/38 ἐκινῆτο | 42 διαδωθῆναι

καὶ αὗται ἐν τῇ πρώτῃ αὐτῶν εὐχῇ ηὔξαντο, καθ᾽ ἅπερ καὶ ὁ κύριος ἔλεγεν τοῖς
ἑαυτοῦ ἀγαπητοῖς· ἴδωσι, φησί, τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα
ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. διὰ γὰρ τὴν ἀγαθοεργίαν αὐτοῦ ὁ ἀληθινὸς τοῦ θεοῦ
υἱὸς οὐκ ἀπαξιοῖ τὴν ἰδίαν κληρονομίαν τοῖς ἰδίοις ἀγαπητοῖς δοῦναι, καὶ ὁ φύσει
υἱὸς ὑπάρχων ἀόκνως προσφέρει τοὺς φυλάξαντας τὴν ἑαυτοῦ ἐντολὴν εἰς τὴν ἰ-
δίαν υἱοθεσίαν. πλὴν ἐάν τις εὑρεθείη φυλάττων τοὺς αὐτοῦ λόγους ὡς τὸν μαρ-
129 γαρίτην, εὑρὼν ἐν χαρᾷ ἀγοράσει καὶ ‖ ἀσφαλίσεται, ἵνα λάβῃ τὸν τιμίον αὐτοῦ
στέφανον τῆς αὐτοῦ βασιλείας.
55[1] 70 αὗται οὖν ὡς λαμπρότατον φῶς φανεῖσαι ἐπὶ τῶν | ἐθνῶν τῆς Ἀρμε-
νίων χώρας, μὴ βουλόμεναι, ἐπλήρωσαν τὴν γῆν τῇ εὐφημίᾳ τῆς τοῦ θεοῦ δο-
ξολογίας. εὑρίσκονται οὖν εἰς τὰς ληνοὺς ἔξωθεν τῆς πόλεως. ὅτε οὖν ἔφθασε
τὸ θεῖον γράμμα ἀπὸ τοῦ μεγάλου τῶν Ῥωμαίων βασιλέως πρὸς Τιριδάτιον τὸν
τῆς Ἀρμενίας βασιλέα, οὐκ ὀλίγη ἐγένετο ταραχὴ ἐν ἐκείνῃ τῇ χώρᾳ. ἐτηροῦ-
σαν γὰρ πάσας τὰς περιόδους καὶ διαβάσεις ἐν τοῖς τῆς ἑκάστης πατρίδος μέ-
ρεσι. καὶ θεασάμενός τις αὐτὰς διηγήσατο περὶ αὐτῶν. ὡς δὲ καταφανεῖς αὐτὰς
ἡ φήμη ἐποίησεν, ἐκελεύσθησαν δύο ἡμέρας τηρηθῆναι ἐκεῖσε ὑπὸ τῶν πεζῶν
130 μετὰ τῶν θυρεῶν καὶ ῥοπάλων. καὶ ‖ μετὰ τρεῖς ἡμέρας ἤχησεν ἡ φήμη τοῦ κάλ-
λους τῆς Ῥιψίμης παρὰ πᾶσι. καὶ πάντες ἄνθρωποι καὶ σύμμικτοι καὶ μεγάλοι
καὶ σατράπαι συνέδραμον εἰς τὸ θεωρῆσαι τὸ αὐτῆς κάλλος, καὶ κατὰ τὴν ἄθεον
55[2] αὐτῶν καὶ δαιμονιώδη συνήθειαν, ἀλλήλοις ἐπεμβαίνοντες | συνεθλίβοντο. αἱ δὲ
ἅγιαι καὶ μακαριώταται, θεασάμεναι τὴν τῶν ἀνθρώπων ἀναίδειαν, ὀλολύζουσαι
ὑψηλῇ τῇ φωνῇ μετὰ δακρύων, καὶ τὰς χεῖρας εἰς εὐχὰς ἐπάρασαι, ἐζήτουν σω-
131 τηρίαν παρὰ τοῦ παντοκράτορος καὶ παντοδυνάμου δεσπότου, ὃς καὶ ἐν πρώτοις
αὐτὰς ἐλυτρώσατο ἀπὸ τοῦ παρανομωτάτου μιάσματος, ἵνα ὁ αὐτὸς δώσῃ καὶ τὴν
τοῦ παρόντος πολέμου νίκην. τὰς δὲ ὄψεις αὐτῶν περιδήσασαι, ἔρριψαν ἑαυτὰς εἰς
τὴν γῆν ἀπὸ αἰδοῦς ἐκ τῶν θεατῶν τῶν περὶ αὐτὰς συνηγμένων.
71 καὶ οἱ πλεῖστοι αὐτῶν καὶ μάλιστα πιστικοὶ τοῦ βασιλέως, πορευθέντες
διηγοῦνται αὐτῷ περὶ τοῦ αὐτῆς κάλλους. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὄρθρου ταχέως
ἐκέλευσεν ὁ βασιλεὺς τὴν μακαριωτάτην Ῥιψιμίαν ἐν τοῖς βασιλείοις ἀνενεχθῆναι,
τὴν δὲ ἁγίαν Γαιανὴν ἅμα ταῖς λοιπαῖς αὐτόθι τηρηθῆναι. εὐθέως οὖν ἀπὸ
τῶν βασιλικῶν χρυσεμπαστοφόρια μετὰ πλήθους δορυφόρων ἐν ταῖς ληνοῖς ἔ-
56[1] 132 φθασαν, ὅπου | ἦσαν ‖ παραμένουσαι ἔξωθεν τῆς πόλεως, καὶ πολυτελέστατος
ἱματισμὸς καὶ ἁπαλός. καὶ κόσμια λαμπρὰ προσενέγκαντες, ἔδωκαν αὐτῇ, ἵνα μετὰ
τιμῆς καὶ δόξης εἰσελθοῦσα εἰς τὴν πόλιν θεάσηται τὸν βασιλέα. πρὸ τοῦ γὰρ
ἰδεῖν αὐτὴν ἐβουλήθη λαβεῖν εἰς γυναῖκα διὰ τοὺς διηγησαμένους περὶ τῆς εὐ-
μορφίας αὐτῆς. ὅτε οὖν ταῦτα πάντα ἐθεάσατο ἡ παναγία Γαιανή, ἤρξατο λα-

44 Matth 5, 16 | 48 Matth 13, 46

43 ηὔξατο m[1], ηὔξαντο m[2] | 44 εἴδωσι | 47 προσφέροι | 49 ἀγοράσῃ | 49 ἀσφαλήσηται | 49 λαβὼν | 50 αὐτῶ m, erster Hand ου über der Zeile | 51 φανῆσαι | 52 εὐφημεία | 54 θεῖον erster Hand als hier einzufügend am Rande | 54 τηριδάτιον | 59 erstes καὶ fehlt | 59 ῥωπάλων | 66 δώσει | 73 χρυσεμπασταφόρια | 75 m keinen Punkt nach ἁπαλός | 77 εἰδεῖν

λεῖν πρὸς τὴν ἀνατραφεῖσαν παρ' αὐτῇ, καὶ φησὶ Μνήσθητι, τέκνον ἐμόν, ὅτι κα-
ταλέλοιπας τὴν μεγάλην τιμὴν καὶ τὸν χρυσέμπαστον βασιλικὸν θρόνον τῶν σῶν
γονέων καὶ τὴν βασιλικὴν ἁλουργίδα, καὶ ἐπεθύμησας τὸ ἀκατάληπτον φῶς τῆς
τοῦ Χριστοῦ βασιλείας, ὅς ἐστι δημιουργὸς καὶ ζωοποιὸς καὶ ἀνακαινιστὴς τῶν
ἁπάντων, ὁ ἐπαγγειλάμενος φυλάττειν τὰ ἀνεκδιήγητα ἀγαθὰ τοῖς ἐπ' αὐτὸν πε-
ποιθόσι. καὶ σύ, τέκνον ἐμόν, ἐξουδένωσας τὴν πρόσκαιρον τῶν σῶν προ||γόνων 133
πορφύραν. νῦν οὖν μὴ δώ|σῃς τὴν ἁγίαν σου σωφροσύνην βρῶμα κυσὶν ἐν τῇ χώρᾳ 56[2]
ταύτῃ τῶν βαρβάρων. μὴ γένοιτο, θύγατερ ἐμή, ταῦτα οὕτως εἶναι, ἀλλ' ἵνα δέ-
ξηται ἡμᾶς μετὰ σοῦ ὁ ὁδηγήσας ἡμᾶς ἐκ νέας ἡλικίας ἕως τῆς ἡμέρας ταύτης
καὶ ἐν τῇ ὥρᾳ ἐν ᾗ ἑστήκαμεν.

**72** ὅτε οὖν ἐθεάσατο ἡ ἁγία Ῥιψίμη τὸν θόρυβον ἐλθόντα πρὸς αὐτὴν καὶ
ἃ ἤκουσεν ἀπὸ τῆς ἰδίας τροφοῦ, ἐνεδύσατο ὡς ὅπλον τὴν τοῦ πνεύματος δύναμιν,
καὶ ἔχουσα τὴν πίστιν τοῦ ἰδίου δεσπότου ἐκ νέας ἡλικίας ὡς θώρακα, ἐκέκραξε
μεγάλῃ τῇ φωνῇ, καὶ ἥπλωσε τὰς χεῖρας αὐτῆς τύπον τοῦ σταυροῦ, καὶ ἤρξατο
ἐκ φωνῆς λέγειν οὕτως· Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὰ σύμπαντα
διὰ τοῦ ἀγαπητοῦ υἱοῦ σου, καὶ περικοσμήσας διὰ || τοῦ ἁγίου σου πνεύματος ὁρατά 134
τε καὶ ἀόρατα κτίσματα, αὐτὸς εἶ ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα πα-
ραγαγών· τῷ γὰρ σῷ λόγῳ διοικεῖται τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τὰ ἐν θαλάσσῃ
καὶ ἐν ξηρᾷ. | αὐτός, δέσποτα, δέδωκας εἰς κατακλυσμὸν τοὺς παρανόμους καὶ 57[1]
μιαροὺς ἀνθρώπους ὀγδόης γενεᾶς, καὶ ἐρρύσω τὸν ἀγαπητόν σου Νῶε, τὸν φυ-
λάξαντα τὸν τῆς διαγωγῆς σου λόγον, περιεποιήσω δὲ ἐν τῷ σταυροειδεῖ ξύλῳ
ἀπὸ τῶν ὑδάτων τοῦ κατακλυσμοῦ. ὁ τότε τῷ τύπῳ τοῦ σταυροῦ ποιήσας σωτη-
ρίαν, καὶ νῦν ποίησον τῷ ἀληθινῷ σου σταυρῷ, ἐν ᾧ ἀνελθὼν ἐξέχεας τὸ αἷμά
σου εἰς ἴασιν τῶν ἡμετέρων τραυμάτων. ὁ φυλάξας τὸν Ἀβραὰμ ἐν μέσῳ τῶν
ἀσεβῶν Χαναναίων, καὶ περισώσας ἀπὸ τῆς ἀτίμου καὶ βδελυρᾶς αἰσχύνης τὴν
δούλην σου Σάρραν, ὁ οἰκτείρας τὸν δοῦλόν σου Ἰσαάκ, καὶ περιποιησάμενος Ῥε-
βέκκαν τὴν σὴν δούλην ἀπὸ τῶν παρανόμων Φυλιστιαίων, μὴ ἀφή||σῃς ἡμᾶς διὰ 135
τὸ πανάγιόν σου ὄνομα.

**73** ὁ διδάξας καὶ παιδεύσας καὶ δοὺς τοὺς λόγους σου ἐν τῷ στόματι ἡμῶν,
ἵνα ἐν τούτοις δυνηθῶμεν σωθῆναι ἀπὸ τῆς παγίδος τοῦ ἐχθροῦ, καὶ εἰπὼν ὅτι
Τὸ ὄνομά μου ἐπικέκληται ἐφ' ὑμᾶς, καὶ ὑμεῖς ἐστε ναὸς τῆς θεότη|τός μου, 57[2]
καὶ πάλιν ὅτι Τὸ ὄνομά μου ἁγιάσεται ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ἔδωκας λόγον
ἐν τῷ στόματι ἡμῶν αἰτήσασθαι καὶ λέγειν Ἁγιασθήτω τὸ ὄνομά σου, νῦν τοῦτο
αἰτούμεθα παρὰ σοῦ. ἰδοὺ συνήχθη πλῆθος κακῶν, μιᾶναι τὸ πανάγιον ὄνομά
σου ἐφ' ἡμᾶς καὶ τὸν ναὸν τοῦ ὀνόματός σου. εἰ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς καὶ
ταπειναὶ ὑπάρχομεν, πλὴν αὐτὸς φύλαξον τὰς ψυχὰς ἡμῶν ἀπὸ τῆς ἀκαθάρτου

95 Maccab β 7, 28 Rom 4, 17 | 3 Gen 20, 2 | 4 Gen 26, 7 | 9 ? | 10 ? | 11 Matth 6, 9

83 λα von φυλάττειν erster Hand über was? | 83/84 πεποιθῶσι | 84 σοὶ m = σύ | 86 θύγατηρ | 87 ἠληκίας m[1], erster Hand verbessert | 90 ἐνδύσατο m[1], von erster Hand verbessert | 93 παντοκράτορ | 96 διοικῆται | 99 στρωειδῆ, über ω zwei gestrichene, jetzt unlesbare Buchstaben | 8 παγίδο▨σ, die Rasur sehr klein | 9 ἡμᾶσ m = ὑμᾶς | 10 ἐν erster Hand über der Zeile | 14 τὰς erster Hand aus τῆσ, also (wie der Accent lehrt) unterm Schreiben verbessert

ἀτιμίας, φιλάνθρωπε σῶτερ, ὁ ἐάσας ἐπελθεῖν ἡμῖν τὸν πειρασμὸν τοῦτον. δὸς
ἡμῖν νίκην τῇ σῇ δυνάμει. σὴ γάρ ἐστιν ἡ νίκη, καὶ νικήσει τὸ σὸν ὄνομα. φύ-
136 λαξον ἡμᾶς τῇ ἐλπίδι τῆς σωφροσύνης, ‖ ἵνα μετ᾽ αὐτῆς εἰσέλθωμεν εἰς τὸν ἀρι-
θμὸν τοῦ κλήρου τῶν σῶν δικαίων, καὶ λάβωμεν τοὺς μισθοὺς ὑπὲρ τῶν κόπων,
οὓς δώσεις ἑκάστῳ, τοῖς ἐμμείνασιν ἐν τῇ διαθήκῃ σου καὶ φυλάξασιν τὰ προστά-
γματά σου. ὁ σώσας τὸν Νῶε ἀπὸ τοῦ κατακλυσμοῦ τῶν ὑδάτων, φύλαξον ἡμᾶς
ἀπὸ τοῦ παρανόμου κατακλυσμοῦ τούτου τοῦ περικυκλώσαντος ἡμᾶς. εἰ γὰρ τὰ
58[1] θηρία καὶ τὰ κτήνη ἔσωσας ἐν τῇ κιβωτῷ, πόσῳ μᾶλλον οὐ φείσῃ τῆς σῆς εἰκό-
νος, δοξολογούσης σὲ τὸν μόνον ἔνδοξον;

74 τούτων οὖν παρ᾽ αὐτῆς οὕτως ῥηθέντων, τὸ πλῆθος συνέρρεεν τῶν ἀν-
θρώπων. ἦσαν γὰρ ἄπειροι οἱ τοῦ βασιλέως ὑπηρέται οἱ ἐλθόντες λαβεῖν αὐτὴν
137 εἰς τὰ βασίλεια, σατράπαι καὶ μεγιστᾶνες καὶ ἄρχοντες, τιμῆ‖σαι αὐτὴν καὶ ἀπελ-
θεῖν μετ᾽ αὐτῆς, ἵνα ἀπενέγκωσιν αὐτὴν εἰς γυναῖκα τοῦ βασιλέως καὶ βασιλίδα
τῆς Ἀρμενίας. ὁμοῦ δὲ πᾶσαι ὀλολύζουσαι καὶ τὰς χεῖρας ἐπάρασαι εἰς τὸν
οὐρανόν, ᾔτουν παρὰ τοῦ ἀγαθοῦ δεσπότου, λυτρώσασθαι αὐτὰς ἀπὸ τοῦ παρα-
νομωτάτου καὶ ἀθεμίτου γάμου, καὶ ἐπάρασαι φωνὴν μετὰ κλαυθμοῦ ἔκραζον λέ-
γουσαι Μὴ γένοιτο ἵνα ἀπατήσῃ ἡμᾶς πλοῦτος, ἢ μαλάξῃ ἡμᾶς τρυφή, ἢ δια-
στρέψῃ ἡμᾶς ἡ βασιλεία, ἢ θλίψῃ ἡμᾶς διωγμός, ἢ ὀλιγωρήσωμεν ταῖς βασάνοις.
οὐ μὴ φοβηθῶμεν τὸν δεινότατον θάνατον τὸν ὑφ᾽ ὑμῶν ἐπιφερόμενον ἡμῖν. μὴ
58[2] γένοιτο ἡμᾶς ἀνταλλάξαι τὰ αἰώνια ὑπὲρ τῶν προσκαίρων καὶ τὴν ἀθάνατον ζωὴν
138 ἧς ἡ δεσποτεία οὐ παρέρχεται, καὶ τὰ ἀγαθὰ τὰ ἀκατάπαυστα. ἀλλ᾽ οὐδὲ βά-
θος οὐδὲ ὕψος, οὐ κίνδυνος, οὐ μάχαιρα, οὐ κακουχίαι, οὐ δεσμά, οὐ βάσανοι,
οὐ πῦρ, οὐχ ὕδωρ, οὐ μετεωρισμοὶ καὶ ἀπάται, οὐ μεγαλωσύνη, οὐ πτωχεία, οὐκ
ἐνεστῶτα οὐδὲ μέλλοντα, οὐ ζωή, οὐ θάνατος, δύναται ἀποχωρίσαι ἡμᾶς ἀπὸ τῆς
ἀγάπης τοῦ Χριστοῦ. αὐτῷ γὰρ ἐπηγγειλάμεθα τὴν παρθενίαν ἡμῶν, αὐτῷ ἀ-
νεθέμεθα τὴν ἁγιστείαν ἡμῶν, αὐτὸν ἐκδεχόμεθα, καὶ τὴν ἀγάπην αὐτοῦ ἐπιπο-
θοῦμεν, ἕως οὗ παρασταθῶμεν ἐνώπιον τῆς αὐτοῦ δόξης καὶ τοῦ ἐπαίνου ἄνευ αἰ-
σχύνης καὶ ἐντροπῆς.

75 καὶ ἐγένετο σφοδρωτάτη βροντὴ ὥστε ἐκφοβεῖσθαι τὸν ὄχλον. καὶ ἤ-
κουσαν φωνῆς λεγούσης πρὸς αὐτὰς Ἀνδρίζεσθε καὶ θαρσεῖτε· μεθ᾽ ὑμῶν γὰρ
εἰμί, καὶ ἐφύλαξα ὑμᾶς ἐν πάσαις ταῖς ὁδοῖς ὑμῶν, καὶ ἤνεγκα ὑμᾶς τοῦ τόπου
139 τούτου φυ‖λάξας ἀσπίλους, ἵνα καὶ ἐνθάδε δοξασθῇ τὸ ὄνομά μου ἐν τοῖς βορ-
59[1] ρεινοῖς μέρεσι τῶν ἐθνῶν. εἰ δὲ μάλιστα, Ῥιψίμη, | κατὰ τὸ ὄνομά σου ἀλη-
θῶς ἐξερρίφης σὺν τῇ Γαιανῇ καὶ ταῖς λοιπαῖς ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.
μὴ φοβηθῆτε οὖν, ἀλλὰ δεῦτε εἰς τὸν τόπον ἐν ᾧ ἡτοιμάσθη ὑμῖν τε καὶ τοῖς ὑμῖν
ὁμοίοις ἡ ἀνεκλάλητος εὐφροσύνη. καὶ οὕτως ἐπὶ ὥραν τῆς βροντῆς κρατούσης,
ἐσκοτώθησαν οἱ ἄνθρωποι ἀπὸ τοῦ φόβου, καὶ πολλῶν ἵπποι ἀφηνιάσαντες ἔρρι-

35 Rom 8, 38 39 | 41 Coloss 1, 28??

15 σῆρ | 16 νικήσῃ | 18 λάβομεν | 22 οὐ erster Hand über der Zeile | 25 αὐτὴν unterm Schreiben aus αὐτάς gemacht | 27 ἀπενέγκουσιν | 30 ἀθεμήτου | 31 μαλάξει | 31/32 διαστρέψει | 32 θλίψει, spät ει zu η gemacht | 33 für ὑμῶν m ἡμῶν, aber über dem η im Texte ein Punkt, am Rande erster Hand ὑ | 36 κακοχίαι | 39/40 ἀναθέμεθα | 43 σφοδροτάτη | 45/46 so | 46/47 βορηνοῖς | 50 ὥρα τῆς

ψαν τοὺς ἐπιβάτας, πολλοὺς δὲ καὶ κατεπάτησαν καὶ ἀπέκτειναν, κραυγή τε καὶ
ταραχὴ πάντας ἐθορύβησεν, καὶ ὑπ᾽ ἀλλήλων συνεπατήθησαν. τὰ γὰρ φόβητρα **140**
πάντας ἐξέστησεν, καὶ πολλῶν αἱμάτων ἐκχυθέντων, τὴν γῆν ἐμόλυναν. γενο-
μένου οὖν τούτου τοῦ θορύβου τοῖς συναχθεῖσιν, τινὲς τῶν ὑπηρετῶν ἐκ μέσης
τῆς ταραχῆς δραμόντες, ἀπήγγειλαν πάντας τοὺς λόγους αὐτῶν καὶ τὰ γενόμενα
τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεὺς Ἀνθ᾽ ὧν οὐκ ἐβουλήθη ἐλθεῖν ἐν τιμῇ καὶ
εἰρήνῃ, βίᾳ ἐνεχθῇ ἐν τῷ παλατίῳ, καὶ εἰσαχθῇ εἰς τὸν τοῦ βασιλέως κοιτῶνα.

**76** λαβόντες οὖν τὴν ἁγίαν Ῥιψιμίαν οἱ δορυφόροι, ποτὲ μὲν | σύροντες, 59[2]
ποτὲ δὲ ἀναβαστάζοντες ἦγον. ἡ δὲ κράζουσα ἔλεγεν Κύριε Ἰησοῦ Χριστέ, βοή-
θει μοι. καὶ ὅλος ὁ ὄχλος ἠκολούθει ποταμηδόν, καὶ ἀπὸ τοῦ πλήθους ἡ γῆ **141**
ἐσείετο. ἤνεγκαν οὖν αὐτὴν ἐν τῷ παλατίῳ εἰς τὸν βασιλικὸν κοιτῶνα. καὶ ὡς
ἐνέκλεισαν αὐτήν, ἤρξατο ζητῆσαι παρὰ κυρίου καὶ λέγειν Κύριε τῶν δυνάμεων,
σὺ εἶ θεὸς ἀληθινός. αὐτὸς εἶ ὁ σχίσας τὴν ἐρυθρὰν θάλασσαν καὶ διαγαγὼν
τὸν λαόν σου. αὐτὸς καὶ τὴν στερεὰν πέτραν ἔστρεψας εἰς πηγὴν ὑδάτων, καὶ
ἐπότισας τὸν διψῶντα λαόν. αὐτὸς εἶ ὁ κατενέγκας τὸν δοῦλόν σου Ἰωνᾶν ἐν τῷ
βυθῷ τῆς θαλάσσης, καὶ δοὺς πεῖραν λαβεῖν τῆς σῆς δυνάμεως, ἐξέωσάς τε αὐ-
τὸν πόρρω τῆς ἀνθρωπίνης φύσεως, καὶ πάλιν τὸ δεύτερον ἐκτὸς φθορᾶς ἀνήνεγ-
κας αὐτὸν ὁλόκληρον, καὶ ἔστησας μετὰ τῶν ζώντων, μηδὲ τριχὸς κινηθείσης τῶν
αὐτοῦ βοστρύχων. αὐτὸς καὶ τὸν Δα‖νιήλ, βληθέντα βρῶμα θηρίοις, περιέσωσας **142**
ἐκ τῶν φοβερῶν αὐτῶν μύλων, ἵνα ὁ ἀπαγορευθεὶς ἐπὶ τῶν θλιβόντων δοξασθῇ.
αὐτὸς καὶ τοὺς | τρεῖς παῖδας σώους καὶ ἀσπίλους ἀπὸ τοῦ πυρὸς ἐφύλαξας, καὶ 60[1]
ἐδόξασάν σε θεωρήσαντες τὰ θαύματά σου. αὐτὸς παρέσχες χόρτον ἐσθίειν τὸν
σκληρότατον καὶ παρανομώτατον βασιλέα τῶν Βαβυλωνίων, ὅτι οὐκ ἔγνω δοξάζειν
σε ἐπὶ τῶν σῶν θαυμάτων ὧν ἔδειξας αὐτῷ. ἀλλάξας αὐτὸν ἐπὶ τῇ τῶν κτηνῶν
μορφῇ, καὶ θεὶς τὴν κατοίκησιν αὐτοῦ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ τὴν νο-
μὴν αὐτοῦ μετὰ τῶν ὀνάγρων. αὐτὸς καὶ τὴν δούλην σου Σουσάνναν δεύτερον ἐκ
τοῦ πικροῦ θανάτου ἔσωσας, καὶ κατήσχυνας τοὺς παρανόμους ἐχθροὺς καὶ ἐξ-
ωλόθρευσας, καὶ στέφανον καυχήσεως τοῖς ἐν σοὶ πεποιθόσιν χαρισάμενος ἀνέ-
στησας. σὺ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη ‖ σου οὐκ ἐκλείψουσιν. αὐτός, δέσποτα, τὴν **143**
δόξαν σου ἑτέρῳ οὐ δώσεις. δεδοξασμένος γὰρ ὑπάρχεις ἐπὶ τὰ πέρατα τῆς
γῆς. μὴ βδελύξωσι τὰ ἔθνη τὸ πανάγιον ὄνομά σου. δύνασαι κἀμὲ ῥύσασθαι ἀπὸ
τοῦ μιάσματος τούτου, ὅπως τελευτήσω ἐν ἁγνότητι, ἀποθανοῦσα ὑπὲρ τοῦ ἁγίου
σου ὀνόματος.

**77** καὶ ὡς ἔτι ἡ ἁγία Ῥιψίμη | ταύτας τὰς εὐχὰς τῷ θεῷ προσέφερεν, πα- 60[2]
ραγενάμενος εἰσῆλθεν ὁ βασιλεὺς Τιριδάτιος εἰς τὸν κοιτῶνα, ἔνθα ἐνεκέκλειστο
ἡ παναγία. εἰσελθόντος δὲ αὐτοῦ, ὁμοῦ πάντες, οἱ μὲν ἔξωθεν τοῦ παλατίου,

80 Hebr 1, 12 | 81 Isa 42, 8

52 κραυγῆ | 59 ῥιψημίαν m², alte Aenderung | 61 ποταμηδῶν | 65 εἰσ erster Hand vor der Zeile | 66 διψόντα | 69 κινηθήσηισ | 71 μύλων L, μυελῶν m: dies hat in m über ε einen Punkt, aber der Accent blieb unangetastet | 77 ου in σουσάνναν sieht aus, als solle es in ω geändert sein | 78/79 ἐξολόθρευσασ | 79 πεποιθῶσιν | 82 βδελύγξουσι | 83 ἁγνώτητι | 85 ῥιψήμη | 86 τηρηδάτιοσ | 86 ἐνέκλειστο m¹

οἱ δὲ ἐν ταῖς πλατείαις, ἄλλοι δὲ ἐσώτεροι, ᾄδοντες ἐκραύγαζον, κρότοις πηδῶν-
τες. καὶ οἱ μὲν ᾄδοντες, καὶ τινὲς μὲν ἐν τῷ κάστρῳ, οἱ δὲ τὸ μέσον τῆς πό-
λεως ἐπλήρωσαν καὶ παίζοντες, λογιζόμενοι τοῖς γάμοις ᾄδειν καὶ χορεύειν. ὁ
144 δὲ ‖ κύριος ὁ θεός, προσεσχηκὼς τῇ ἀγάπῃ τῇ αὐτοῦ Ῥιψίμῃ ὥστε περισῶσαι
αὐτήν, ἵνα μὴ ἀπόληται ἡ παραθήκη ἣν ἐφύλαξεν καὶ ἠσφαλίσατο ἕως τότε, ἐ-
νίσχυσεν αὐτὴν ὡς τὴν Ῥαχὴλ καὶ Δεβόρραν, καὶ δέδωκεν αὐτῇ δύναμιν, ἵνα
ῥυσθῇ ἀπὸ τῆς παρανομωτάτης ἐκείνης βίας. εἰσελθὼν οὖν ὁ βασιλεύς, ἐπέλα-
βεν αὐτῆς ὥστε πληρῶσαι τὸ ἀθέμιτον ἔργον. αὐτὴ οὖν ἐνδυναμωθεῖσα ὑπὸ τοῦ
ἁγίου πνεύματος, ἀνδρείως ἀντέστη, ἀπωθοῦσα αὐτόν. καὶ ἀπὸ τρίτης ὥρας μα-
61¹ χεσάμενος ὁ βασιλεὺς ἕως δεκάτης, | ἐκλυθεὶς ἔπεσεν, οὕτως δυνατώτατος ὤν, ὃς
καὶ ἐν τῇ Ἰωνίων χώρᾳ ἔτι ὑπάρχων, πολλὰς δυναστείας ἀπέδειξεν διὰ τὸ τῶν
ὀστέων στερεόν, ὅτε καὶ ἐξέστησεν πάντας. οὐ μόνον δέ, ἀλλὰ ἐν τῇ βασιλείᾳ
145 αὐτοῦ, ἀφ' οὗ τὴν προγονικὴν πατρίδα παρέλαβεν, πολλὰ ἔργα τῆς αὐτοῦ ἀνδρει-
ότητος ἀπέδειξεν, καὶ πανταχοῦ εὔφημος γενάμενος ἦν. οὗτος οὖν ἀπὸ μιᾶς κό-
ρης ἡττηθείς, τῷ θελήματι καὶ τῇ δυνάμει τοῦ Χριστοῦ, καὶ ἀποκαμών, ἐξῆλ-
θεν ἔξω.

78 καὶ ἐκέλευσεν ἐνεγκεῖν τὴν μακαριωτάτην Γαιανήν, καὶ ξύλον κατὰ τῆς τραχήλου αὐτῆς κρεμασθῆναι, καὶ ἐπὶ ταῖς τοῦ κοιτῶνος θύραις στῆσαι αὐτήν. αὐτὸς δὲ εἰσήει πάλιν πρὸς αὐτήν, παραγγείλας τοῖς ὑπηρέταις ἀπατῆσαι τὴν Γαιανήν, εἰπεῖν πρὸς τὴν ἁγίαν Ῥιψιμίαν ἀπὸ τῆς θύρας Ποίησαι τὸ θέλημα αὐτοῦ, ὅπως σὺ καὶ ἡμεῖς ζήσωμεν, φησίν. καταδεξαμένη οὖν λαλῆσαι αὐτῇ, προσῆλθεν τῇ τοῦ κοιτῶνος θύρᾳ καὶ φησὶν Τέκνον, φυλάξῃ σε ὁ Χριστὸς ἀπὸ τοῦ μιάσμα-
61² τος τούτου, καὶ γένηταί σοι δύναμις. τέκνον ἐμόν, μηδαμῶς γένηταί σε | ἐξελ-
146 θεῖν ἀπὸ τῆς κληρο‖νομίας καὶ τὰ πρόσκαιρα ἐπιθυμῆσαι, τὰ μηδὲν ὄντα σήμε-
ρον καὶ αὔριον ἀπολλύμενα. ὅτε οὖν ἐποίησαν τὴν προσενεχθεῖσαν αὐτῇ νουθε-
σίαν, λίθοις τὸ στόμα αὐτῆς τύψαντες, τοὺς ὀδόντας κατέκλασαν, καὶ ἠνάγκαζον
αὐτὴν εἰπεῖν ποιεῖν τὸ θέλημα τοῦ βασιλέως. ἡ δὲ πλέον δισχυριζομένη ἔλεγεν
Ἀνδρίζου, καὶ θεωρεῖς τὸν Χριστὸν ᾧ πεποίθεις. μνήσθητι, τέκνον μου, τῆς πνευ-
ματικῆς ἀνατροφῆς ἐν ᾗ σε ἀνέθρεψα. μνήσθητι τῆς θεϊκῆς νουθεσίας ἐν ᾗ σε
ἀνήγαγον. μνήσθητι τῶν ἀμφοτέρων ἡμῶν διωγμῶν. μνήσθητι τοῦ ἀθανάτου πο-
τηρίου ὃ ἄμφω πιεῖν ἔχομεν. μνήσθητι τοῦ ἐλεγχθέντος πλουσίου ἐν τῷ ᾅδῃ.
147 μνήσθητι τῆς οἰκουμενικῆς ἀναστάσεως. μνήσθητι τῆς γεέννης τῆς φλογιζούσης
καὶ τῆς αἰωνίου κολάσεως. μνήσθητι τῶν ἀδιαφθόρων ἀγαθῶν τῶν καὶ ἡμῖν ἡ-
τοιμασμένων, ἐὰν ὑπομείνωμεν.

79 μνήσθητι τῆς θεϊκῆς προσφωνήσεως ἧς ἤκουσας σήμερον τοῖς ὠσίν σου, ἐνισχυούσης καὶ ἐνδυναμούσης πάσας ἡμᾶς μετὰ σοῦ· αὐτὴ ἀξίαν σε ποιήσει τοῦ

92 Tim β 1, 12 | 11 Matth 6, 30

88 κρωτοῖσ | 88/89 πηδόντεσ m[1], πηδοῦντεσ m[2] von erster Hand | 91 ῥιψήμη | 92 ἀπολεῖται | 95 ἀθέμητον | 96/97 μαχησάμενοσ | 100/1 ἀνδριώτητοσ | 6 εἰσίη | 7 ῥιψημίαν | 9 φυλάξει | 12 προσενεχθῆσαν | 14 διησχυριζωμένη | 17 anderes ω von διωγμῶν alt über was? Circumflex erster Hand | 20 ἀδιαφόρων | 23 πάσασ auf Rasur. wohl jünger

στε|φάνου καὶ τῆς ἀναπαύσεως ἧς ἐπηγγείλατο. κραταιώσει οὖν σὲ σὺν ἡμῖν, ἵνα 62[1]
γενώμεθα ναοὶ θεϊκοῦ φωτὸς εἰς τὰς αἰωνίους σκηνάς. ὁ δὲ κύριος ἡμῶν καὶ
βασιλεὺς καὶ θεός, ὁ δι' ἡμᾶς εἰς εὐτέλειαν ταπεινώσας ἑαυτόν, μὴ ἀφήσῃ ἡμᾶς
τὰς εὐτελεῖς, ὅτι αὐτὸν ποθοῦμεν. ὁ σωτὴρ τοῦ κόσμου βοηθήσει ἡμῖν, ὃς οὐκ
εἴασεν ἡμᾶς ἕως ἄρτι τὰς ἐπ' αὐτὸν πεποιθυίας, καὶ ἠξίωσεν ἡμᾶς ἐνδυναμω-
θῆναι διὰ τῶν ἰδίων λόγων. τῶν γὰρ ταπεινῶν ἐστὶν ὁ δεσπότης· αὐτὸς καὶ φυ-
λάξει ἡμᾶς τὰς δούλας αὐτοῦ || ἀπὸ πάσης ἁμαρτίας καθ' ὡς σήμερον ἠκούσαμεν. **148**
διεφύλαξεν γὰρ ἡμᾶς ἡ παντοδύναμος δεξιά, καὶ σκεπάσει εἰς τέλος, μόνον μὴ ἀ-
ποστῶμεν τῆς αὐτοῦ ἀγάπης. ἀλλ' ἐξεγείρῃ τὰς δυναστείας αὐτοῦ, καὶ ἔλθῃ εἰς
τὸ σῶσαι ἡμᾶς. καὶ ἡμεῖς τὸ ὄνομα κυρίου ἐπικαλεσόμεθα, ἐπιφᾶναι τὸ πρόσω-
πον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ σωθησόμεθα. αὐτὸς γάρ ἐστιν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν.
ἕνεκεν αὐτοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν. μνήσθητι τοῦ δεσπότου, ὅτι διὰ
τὸ ἡμᾶς ὑψῶσαι ἐταπεινώθη, καὶ τὸ αἷμα αὐτοῦ ἐξεκένωσεν ὑπὲρ τῆς ζωῆς ἡ-
μῶν, καὶ διὰ τὴν σωτηρίαν ἡμῶν εἰς θάνατον | παρεδόθη. θὲς αὐτὸν ἐν τῇ ψυ- 62[2]
χῇ σου, καὶ ἐπικαλοῦ αὐτὸν ἐν τῇ καρδίᾳ σου. ἰδοὺ ἔφθασεν εἰς βοήθειαν, καὶ
ἐνισχύσει τοὺς βραχίονάς σου ὡς τοῦ παιδὸς Δαβιδ ἐπὶ τὰς ἄρκους καὶ λέοντας,
οὓς ἐρίφων δίκην σχίσας ἔκλασεν. αὐτὸς .... συνέτριψεν διὰ || χειρὸς Δαβιδ τοῦ δούλου **149**
αὐτοῦ. συντρίψει οὖν καὶ τὴν τῆς ἀνομίας τούτου κακίαν ἐνώπιόν σου, θύγατερ τῆς
πίστεως Δαβιδ, ἡ ἀνατραφεῖσα ἐπὶ τοὺς βραχίονάς μου ἐν δικαιοσύνῃ καὶ ἐνώπιον
τοῦ δεδοξασμένου θυσιαστηρίου τοῦ θεοῦ, ὅστις καὶ σήμερον ἀπεκαλύφθη ἡμῖν
διὰ τῆς φιλανθρωπίας αὐτοῦ καὶ τῶν ἰδίων οἰκτιρμῶν· αὐτὸς δώσει σοι σὺν ἡμῖν
ἄνευ αἰσχύνης ἰδεῖν τὸ πρόσωπον αὐτοῦ.

**80** ταῦτα οὖν πάντα ἐλάλει ἡ ἁγία Γαιανὴ ἐν τῇ ῥωμαϊκῇ διαλέκτῳ ἀπὸ
τῆς θύρας τοῦ κοιτῶνος, ἔτι τοῦ βασιλέως μαχομένου μετὰ τῆς ἁγίας Ῥιψίμης.
ἦσαν δὲ τινὲς τῶν ὑπηρετῶν τοῦ βασιλέως ἀκούοντες τὴν τῶν Ῥωμαίων ὁμιλίαν.
καὶ ὡς ἤκουσαν ταῦτα πάν||τα ἃ ἐλάλησεν Γαιανὴ μετὰ τῆς παιδός, ἐπῆραν αὐ- **150**
τὴν ἀπὸ τῆς θύρας. εἰ γὰρ καὶ πολλάκις ἔτυψαν αὐτῆς τὸ πρόσωπον λίθοις καὶ
τὸ στόμα | σὺν τοῖς ὀδοῦσιν καὶ ταῖς οὐλαῖς συνέτριψαν, ἀλλ' ὅμως αὐτὴ οὐκ 63[1]
ἤλλαξεν τοὺς λόγους, τοῦ λαλῆσαι ἄλλως πρὸς τὴν παρθένον, ἀλλὰ καθ' ὡς ἤρ-
ξατο, τοῖς αὐτοῖς προσέθηκεν. ἐμαχέσατο οὖν ἔτι μετ' αὐτῆς ἀπὸ δεκάτης ὥρας
ἕως μίας φυλακῆς τῆς νυκτός. καὶ ἐνδυναμωθεῖσα ἡ νεᾶνις ὑπὸ τοῦ ἁγίου πνεύ-
ματος, ἔρριψεν τὸν βασιλέα ὀλιγωρήσαντα καὶ ἐκλυθέντα, γυμνὸν καὶ ἐκδεδυμέ-
νον ἀπὸ τῶν ἱματίων καὶ τῆς στολῆς αὐτοῦ. ἐσκόρπισεν δὲ καὶ τὰ κόσμια τοῦ
διαδήματος, καὶ ἐν αἰσχύνῃ κατέλιπεν αὐτόν. ἐξῆλθεν δὲ τὰ ἴδια ἐνδύματα κα-
τεσχισμένα φοροῦσα, πλὴν ὅμως ἄσπιλος φυλαχθεῖσα ἔμεινεν ἐν ἁγνότητι, καὶ **151**

33 Num 6, 25 | 35 Psalm μγ 23 | 39 Regn α 17, 34

26 zum Ende von ἀφήσῃ über der Zeile erster Hand ει | 28 ἔασεν | 31 δεξιᾶ | 32 ἀγάπησ später auf Rasur nachgeflickt | 37 παρεδώθη | 39 δαδ | 40 οὓς B, ὡσ m | 40 σχήσασ | 40 Zeichen der Lücke L, Goliath wurde erwähnt | 40 42 δαδ | 42 ἀνατραφῆσα | 47 ῥιψήμησ | 50 ἐπήραν | 51 ὀυλαῖσ schreibt er | 53 ἐμαχίσατο, wo ι spät [?] zu η gemacht | 56 ἐσκόρπησεν | 58 φυλαχθῆσα | 58 ἁγνώτητι

ἀνοίξασα τὴν θύραν, βίᾳ ἐξῆλθεν, καὶ σχίσασα τὸν ὄχλον παρῆλθεν διὰ μέσης
τῆς πόλεως, μηδενὸς ἰσχύσαντος κρατῆσαι αὐτήν. διαπερῶσα οὖν ἐξήει κατὰ
ἀνατολὰς τὴν πύλην, καὶ ἐλθοῦσα εἰς τὴν ληνὸν ὅπου τὸ πρότερον ἦν ἡ κατα-
μονὴ αὐτῶν, εὐηγγελίζετο ταῖς λοιπαῖς παρθένοις.

81 μείνασαι δὲ μικρὸν ἀπὸ τῆς πόλεως εἰς τὰ μέρη τὰ βόρεια κατὰ ἀνα-
63² τολὰς | ἐν λόφῳ τινὶ ἀμμώδει ἐχόμενα τῆς βασιλικῆς ὁδοῦ τῆς ἀποφερούσης
εἰς τὴν Ἀρταξὰτ πόλιν, γόνυ κλίνασαι ηὔχοντο, λέγουσαι Κύριε παντοκράτορ,
τίς δυνηθῇ ἀνταποδοῦναί σοι ἀντὶ τῶν ἀγαθῶν τῶν παρὰ σοῦ ἡμῖν χαρισθέντων,
152 ὅτι ἐφύλαξας τὴν ἐλπίδα ἡμῶν, ‖ καὶ ἔσωσας ἡμᾶς ἀπὸ τῶν μιαρῶν ὀδόντων τοῦ
θηρός, βουλομένου διαφθεῖραι ἡμᾶς. τίς οὖν ἐστιν ἐν ἡμῖν δύναμις ἀνταποδοῦναί
σοι; ἀλλ' αἱ ψυχαὶ ἡμῶν ἔστωσαν ἀντὶ τῆς σωτηριώδους ἀγάπης σου. αὐτὸς
γὰρ κατηξίωσας ἡμᾶς τῆς σῆς ὑπηρεσίας, βαστάζειν τὸ ὄνομά σου, ἐν ᾧ ἔσωσας
ἡμᾶς. πλὴν γὰρ σοῦ, δέσποτα, ἄλλον οὐκ οἴδαμεν, καὶ τὸ ὄνομά σου ὀνομάζομεν
ὅλην τὴν ἡμέραν. ἡμῖν δὲ ἀγαθόν ἐστιν ἀποθανεῖν ἐν τῇ ἁγιότητι ἡμῶν ἢ ἵνα
ἐκτείνωμεν τὰς χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον. οὐδὲν γάρ εἰσι τὰ σεβάσματα
τῶν ἐθνῶν. αὐτὸς εἶ δημιουργὸς μετὰ τοῦ μονογενοῦς σου υἱοῦ, οὗ χωρὶς ἐγέ-
νετο οὐδέν, καὶ τὸ ἀγαθόν σου πνεῦμα τὸ ὁδηγοῦν ἡμᾶς ἐν γῇ εὐθείᾳ καὶ ἀπο-
φέρον ἡμᾶς εἰς τὰ αἰώνια καὶ ἐπουράνια ἀγαθά, ἵνα ἄνευ αἰσχύνης παραστα-
64¹ 153 θῶμεν ‖ τῷ μονογενεῖ σου μετὰ τῶν ἐκ δεξιῶν, | ὅταν ἀποστείλῃς αὐτὸν ἐξ
ἑτοίμου κατοικητηρίου σου, ἐπισκέψασθαι πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

82 ὁ πλάσας κατὰ μόνας τὸν ἄνθρωπον, ὁ συνεὶς εἰς πάντα τὰ ἔργα
αὐτῶν· ἡμεῖς γὰρ ἀπὸ τοῦ λαοῦ σου ὑπάρχομεν καὶ τῶν προβάτων τῆς νομῆς
σου· εἰσέλθωμεν οὖν εἰς τὰς σκηνὰς ἃς ἡτοίμασας τοῖς ἀγαπητοῖς σου. ἧσ
σπεύδομεν, δέσποτα, ἐξελθεῖν ἐκ τοῦ σώματος τούτου, ἵνα συναφθῶμεν εἰς τὸν
χορὸν τοῦ ἀγαπητοῦ μονογενοῦς σου μετὰ τοῦ ἀριθμοῦ τῶν ἠγαπηκότων τὴν
ἡμέραν τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μόνον ἀπὸ τῆς ἀκα-
θαρσίας ῥῦσαι ἡμᾶς. ἐλθέτωσαν δὲ ἐφ' ἡμᾶς βάσανοι ἕνεκεν τοῦ ὀνόματός σου.
ἕτοιμαι γὰρ ἐσμὲν καὶ ἐπιστάμεθα ὅτι οὐ μὴ παρίδῃς ἡμᾶς. αὐτὸς γάρ, δέ-
σποτα, μαρτυρεῖς τῇ ἐμῇ ταπεινώσει, ὅτι γηΐνην ζωὴν οὐκ ἐπεθύμησα ἐκ νέας
154 μου ἡλικίας. ἐπειδὴ ἀναβλέψασα ἐπίστευσα ‖ τῷ εἰρημένῳ σου λόγῳ Οὐαὶ ὑμῖν
ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι· μακάριοι δὲ ἐστὲ ὅταν διώξωσιν ὑμᾶς
καὶ ὀνειδίσωσιν καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν
64² ἐμοῦ· | χαίρετε καὶ ἀγαλλιᾶσθε. ἀληθῶς, δέσποτα, ἐχάρημεν ἐπὶ τῷ ἐπελθόντι
ἡμῖν τούτῳ πολέμῳ, ὥστε ἀθλῆσαι ἡμᾶς ἐν τῇ σῇ ἀγάπῃ. ἐνίκησεν γὰρ ἡ σὴ
δύναμις, καὶ δέδωκεν ἡμῖν τὴν νίκην. εὐφράνθημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας
ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. καὶ ἴδε ἐπὶ τὰς δούλας σου καὶ τὰ ἔργα σου

74 Ioh 1, 3 | 77 Psalm λβ 14 | 80 Psalm οη 13 | 81 Ioh 14, 2 Hebr 11, 16 | 88 Luc 6, 26

59 erstes ε von ἐξῆλθεν erster Hand aus was? | 60 ἐξείη | 63 μείνασα | 63 βόρια | 64 ἀμμώδη | 71 Anfang σοὶ m = σοῦ | 72 ἁγιώτητι | 75 ὁδηγοῦντα | 75/76 ἀποφέρων | 77 μονογενῆ | 79 συνιεῖς | 81 ἧσ weiß ich nicht zu bessern | 89 διώξουσιν | 90 ὀνειδίσουσιν

καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ ἄνω Ἱερουσαλὴμ καὶ οὐρανίῳ, ὅπου συνάγεις τοὺς σοὺς
ἁγίους, καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.
83 ἔτι δὲ λαλούσης ταῦτα πάντα τῆς ἁγίας Ῥιφίμης, ἐν αὐτῇ τῇ νυκτὶ **155**
ἐπέστησαν εἰς τὸν τόπον οἱ ἄρχοντες τοῦ βασιλέως καὶ ὁ ἀρχιμάγειρος μετὰ
τῶν στρατιωτῶν, λαμπάδας βαστάζοντες. καὶ προσελθόντες ἔδησαν ἐξάγκονα
τὴν ἁγίαν Ῥιφίμην, καὶ ἐζήτουν γλωσσοτομῆσαι. ἡ δὲ ἑκουσίως προέφερεν ἐκ-
βάλλουσα τὴν γλῶσσαν. καὶ αὐτίκα τὰ περὶ αὐτὴν ἱμάτια περισχίσαντες χερσὶ
καὶ ποσί, καὶ τανύσαντες τὰς λαμπάδας τῷ σώματι προσέφερον, καὶ οὕτως τῷ
πυρὶ τῶν λαμπάδων τὸ σῶμα καύσαντες, καὶ λίθους ὀξεῖς ἐν | τοῖς κόλποις 65[1]
αὐτῆς πήξαντες, ἐσκόρπισαν τὰ σπλάγχνα αὐτῆς. καὶ ἔτι ἐχούσης πνοὴν τοὺς
ὀφθαλμοὺς ἐξώρυξαν. μετὰ ταῦτα δὲ καταμελίσαντες αὐτήν, ἔλεγον Πάντες οἱ
τοῖς βασιλικοῖς προστάγμασιν ἀνθιστάμενοι τούτῳ τῷ τρόπῳ ἀπολέσθωσαν. ἦσαν **156**
δὲ καὶ ἄλλοι ἅγιοι, ἄνδρες τε καὶ γυναῖκες, πλείους ἑβδομήκοντα ὀνομάτων, οἱ
σὺν αὐταῖς ἐλθόντες ἔξω, τινὲς τὸν τόπον φθάσαντες ἐζήτουν τὰ λείψανα αὐτῶν
συστεῖλαι καὶ θάψαι. τούτοις οὖν ξίφη ἐπιθέντες, ἀνεῖλαν ὀνόματα τριάκοντα
δύο. καὶ αὐτοὶ δὲ ἔλεγον οὕτως· Ἠγαπήσαμεν, κύριε, ἵνα εἰσακούσῃς τῆς
φωνῆς τῆς δεήσεως ἡμῶν. ἔκλινας τὸ οὖς σου, ἀγαθέ, καὶ ἡμεῖς ἐπεκαλεσά-
μεθά σε. δόξα σοί, τῷ μὴ ὑστερήσαντι τὴν ἡμῶν ἀναξιότητα τῶν σῶν ἀγαθῶν,
φιλάνθρωπε. ἐφύλαξας ἡμᾶς ὡς κόρην ὀφθαλμοῦ, καὶ ἐν σκέπῃ τῶν πτερύγων
σου ἐσκέπασας ἀπὸ τῶν ἀνόμων πλήθους. πρόβατα γὰρ ἐσμὲν τοῦ ἐνδόξου σου
ὀνόματος. ταῦτα δὲ ἐπὶ τὸ αὐτὸ εἰπόντες ἐτελειώθησαν.
84 μίαν δὲ ἐξ αὐτῶν, ἀσθενοῦ|σαν ἐν τῇ καταμονῇ αὐτῶν τῇ ληνῷ, **157** 65[2]
ἀπέκτειναν καὶ αὐτήν, εἰρηκυῖαν οὕτως ἐν ὥρᾳ τῆς τελευτῆς αὐτῆς· Εὐχαριστῶ
σοι, δέσποτα φιλάνθρωπε, τῷ κἀμὲ μὴ ὑστερήσαντι. ἀσθενὴς γὰρ ὑπάρχουσα, οὐκ
ἠδυνήθην δραμεῖν ὀπίσω τῶν ἐμῶν ἑταίρων. ὅμως δέ, ἀγαθὲ καὶ ἐλεῆμον,
δέξαι καὶ σύναψον τὸ ἐμὸν πνεῦμα εἰς τὸν χορὸν τῶν σῶν μαρτύρων, ἐμοῦ δὲ
ἀδελφῶν, μετὰ τῆς μητρὸς ἡμῶν Γαιανῆς καὶ ἀδελφῆς καὶ τέκνου ἡμῶν Ῥιφί-
μης. καὶ αὐτὴ οὖν οὕτω λαλήσασα ἐκοιμήθη. σύραντες δὲ τὰ σώματα ἔξω,
ἔρριψαν βρῶμα γενέσθαι κυσὶ τῆς πόλεως καὶ πετεινοῖς καὶ θηρίοις.
85 ὁ δὲ βασιλεὺς μεγάλως ἐνετράπη, ὁ οὕτως ὀνομαστὸς πανταχοῦ γενά-
μενος ἐν πολέμῳ καὶ μάλιστα ἐν τοῖς ὀλυμπιακοῖς ἀγῶσι τῆς Ἰωνίας γῆς γιγαν-
τιαῖος φανείς, ‖ καὶ πολέμους ἐπέκεινα τοῦ Εὐφράτου ποταμοῦ κατορθώσας εἰς **158**
τὰ μέρη τῶν Σαρακηνῶν, ὅπου ποτὲ τρωθεὶς ἐξῄει μετὰ τοῦ ἵππου, τὸν πόλεμον
φεύγων, καὶ ὥστε μὴ καταληφθῆναι, τόν τε ἵππον σύρων καὶ τὰ οἰκεῖα ὅπλα καὶ
τὸ τοῦ ἵππου ἔνδυμα τοῖς μεταφρένοις ἐπι|θείς, διενήξατο τὸν Εὐφράτην. καὶ 66[1]
οὗτος πανταχοῦ στερεώτατος τοῖς ὀστέοις ἀπὸ μιᾶς νεάνιδος ἡττηθείς, κατῃ-
σχύνθη θελήματι τοῦ θεοῦ. ὅμως δὲ παριδὼν τὴν ἑαυτοῦ αἰσχύνην, εἰς δὲ τὴν

95 Gal 4, 26 | 13 Deut 32, 10 | Psalm ξ 5

97 ριψήμησ | 98 ἀρχιμάγηροσ | 100 ριψήμην | 100 γλωσσωτομῆσαι | 4 ἐσκόρπησαν | 5 ἐξόρυξαν | 5 καταμελήσαντεσ | 8 τῶν τόπων | 9 συστῆλαι | 19 ἐλεήμον [so] | 21/22 ριψήμησ | 25/26 γηγαντιαῖοσ | 27 ἐξίει | 28 σύρον m[1], erster Hand ω über der Zeile | 29 Anfang τὰ | 29 διενίξατο

δρασιν τῆς ὄψεως τῆς κόρης καὶ τῆς αὐτῆς φιλίας θερμανθείς, ἐν μεγίστῃ λύπῃ
καὶ πένθει ἐκάθητο, τὸν θάνατον τῆς κόρης ὀδυρόμενος. Βλέπετε, λέγων, τὸ
γοητικὸν γένος τῆς τῶν Χριστιανῶν θρησκείας πῶς ἀπόλλυσι τὰς ψυχὰς τῶν ἀν-
θρώπων, διαστρέφοντες ἀπὸ τῆς θεῶν προσκυνήσεως, καὶ τῆς μὲν παρούσης ζωῆς
καὶ ἀπολαύσεως καταφρονοῦσι, τὸν θάνατον οὐ φοβοῦνται. ἐννοῶ δὲ μάλιστα
159 τὴν θαυμασιωτάτην Ῥιψίμην, ‖ ἧς οὐκ ἐξισοῦτό τις ἐν συγκρίσει τῶν γηγενῶν γυ-
ναικῶν. ὀπίσω γὰρ αὐτῆς ἡ καρδία μου ἀπομένει, καὶ οὐκ ἐπιλανθάνομαι αὐτῆς
ἕως ἂν εἰμὶ ἐγὼ ἐν τῇ ζωῇ Τιριδάτιος ὁ βασιλεύς. τὴν γὰρ Ἰωνίαν καὶ Ῥωμαίων
χώραν ἐπίσταμαι καὶ τὰ μέρη τῶν Πάρθων, Ἀσσυρίαν τε καὶ Περσικήν, καὶ
66[2] ἵνα μὴ ἐφεξῆς ὀνομάσω (πολλοὺς γὰρ τόπους καὶ χώρας ἐν πολέμῳ κατέλαβα |,
πλείστους τε καὶ μετ' εἰρήνης), καὶ τοῦ κάλλους ταύτης ὅμοιον οὐκ ἐθεώρησα
πώποτε, ἣν διαστρέψαντες ἦσαν οἱ γόητες, οὕτως ὑπερβαλλόντως φαρμακεύσαντες
ὡς κἀμὲ νικῆσαι.

86 τῇ δὲ ἐπιούσῃ προσελθὼν ὁ ἀρχιμάγειρος, διάταγμα ᾔτει λαβεῖν περὶ
τῆς ἁγίας Γαιανῆς, ποίῳ θανάτῳ αὐτὴν ἀποκτείνῃ. αὐτὸς οὖν ἀκούσας, ὡς ἐξε-
στηκὼς ἀπὸ τῆς φιλίας καὶ μωρανθεὶς καὶ ἐκλυθεὶς καὶ ἔξω ἑαυτοῦ γενάμενος,
160 ἐνόμισεν ζῆν τὴν ἁγίαν Ῥιψίμην, καὶ φησὶν Ἐπὶ μεγάλῳ ἀξιώματι καὶ τιμῇ
καὶ δώροις ἵστημι τὸν δυνάμενον πεῖσαι τὴν κόρην ἐλθεῖν πρὸς μέ. ὁ δὲ ἀρχι-
μάγειρος ἔφη· Οὕτως ἀπολοῦνται πάντες οἱ τοῦ βασιλέως ἐχθροὶ καὶ οἱ τῶν
θεῶν καταφρονοῦντες καὶ τῶν βασιλικῶν προσταγμάτων ὡς ἐκείνη. ἡ δὲ διαστρέ-
ψασα αὐτὴν γοήτρια μετὰ δύο ἑταίρων αὐτῆς ζῇ. καὶ ὡς ἤκουσεν τὸν τῆς ἁγίας
Ῥιψίμης θάνατον ὁ βασιλεύς, πάλιν ἐν λύπῃ κατεπόθη, καὶ καταβὰς ἀπὸ τοῦ
67[1] θρόνου, ἐπὶ τὴν γῆν ἐκάθισεν καὶ ἐ|θρήνει καὶ ἔκλαιεν. πάλιν οὖν κελεύει τὴν
ἁγίαν Γαιανὴν ὥστε τὴν αὐτῆς γλῶσσαν διὰ τοῦ τένοντος ὄπισθεν πρῶτον ἐκβα-
λεῖν, καὶ οὕτως ἀποκτανθῆναι αὐτήν, Ἐπειδὴ ἐτόλμησεν, φησίν, ἐν διαστρόφῳ
νουθεσίᾳ ἀπολέσαι τοιαύτην κόρην, ἔχουσαν τὴν τῶν θεῶν εὐμορφίαν ἐν μέσῳ
161 τῶν ἀνθρώπων, ‖ διὰ τοῦτο πρῶτον καταπήξαντες, οὕτως αὐτὴν ἀποκτείνατε.
δεξάμενος οὖν τὴν παραγγελίαν ὁ ἀρχιμάγειρος, ἐκέλευσεν ἐχούσας τὰς ἁλύσεις
ἐκβαλεῖν αὐτὰς διὰ τῆς ἡλιακῆς πύλης τῆς πόλεως εἰς τὰ μέρη τῆς βασιλικῆς
ὁδοῦ τῆς ἀποφερούσης εἰς τὴν γέφυραν τοῦ βαθυτάτου καλουμένου ποταμοῦ, εἰς
τὸν τόπον ὅπου πάντας τοὺς καταδίκους ἐφόνευον ἐν τῇ πεδιάδι παρὰ τὸ φωσσά-
τον τὸ τὴν πόλιν κυκλοῦν.

87 καὶ πησσόντων αὐτῶν πάλους τέσσαρας μιᾷ ἑκάστῃ αὐτῶν καὶ ἑτοιμα-
ζόντων, ἤρξατο ἡ ἁγία Γαιανὴ σὺν ταῖς ἄλλαις λαλεῖν οὕτως· Εὐχαριστοῦμέν
σοι, δέσποτα, τῷ καταξιώσαντι τὴν ἡμῶν ἀναξιότητα ἀποθανεῖν ὑπὲρ τοῦ μεγάλου
67[2] σου ὀνόματος, καὶ ἐτίμησας τὴν | γηΐνην ἡμῶν φύσιν ἀξιωθῆναι τῆς σῆς θεότη-
τος, καὶ συγκοινωνοὺς ἡμᾶς πεποίηκας ταῖς μάρτυσι Ῥιψίμῃ καὶ ταῖς λοιπαῖς.
162 νῦν δὲ σπεύδουσαι ‖ ἐπιποθοῦμεν καταλαβεῖν ὀπίσω τῆς ἡμῶν θυγατρὸς Ῥιψίμης

37 ῥιψήμην | 37 ἐξισοῦτω | 39 τηρηδάτιος | 43 γόηται $m^1$, γόηταις $m^2$ erster Hand | 43 ὑπερβάλλοντος | 48 ἐνόμησεν | 48 ῥιψήμην | 53 ῥιψήμης | 54 ἐκάθησεν | 54 ἐθρήνη | 55 τέναντος | 62/63 φωσσάτον | 66 ἀναξιώτητα | 68 ῥιψήμη | 69 ῥιψήμης

καὶ τῶν ἀδελφῶν. μνήσθητι οὖν ἡμῶν, δέσποτα, ὅτι ἕνεκα σοῦ θανατούμεθα
ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν γὰρ ὡς πρόβατα σφαγῆς. ἀνάστα, καὶ μὴ ἀπώσῃ
ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου, καὶ δὸς ἡμῖν τὴν νίκην σου. ὁ δὲ πονηρὸς ἅμα
τῷ συνεργῷ αὐτοῦ ὡς πάντοτε, καὶ νῦν ἐντραπήσεται.

**88** μετὰ ταῦτα οὖν προσελθόντες περιέσχισαν τὰ ἱμάτια ἀπὸ τῶν μελῶν
αὐτῶν, καὶ ἐτάνυσαν μίαν ἑκάστην τέσσαρσι πάλοις, τοὺς δὲ ἀστραγάλους τρυπή-
σαντες καὶ αὐλίσκοις φυσοῦντες ὡς ἀσκούς, ἐξέδειραν τὰ τῶν ἁγίων δέρματα κά-
τωθεν ἀπὸ τῶν ποδῶν ἕως τῶν μαστῶν αὐτῶν ἐπὶ τὸ αὐτὸ ἅμα τῶν τριχῶν. τὰς
δὲ γλώσσας διὰ τῶν αὐχένων τρυπήσαντες ἐξέβαλον, καὶ λίθους ὀξεῖς ἐν τοῖς
κόλποις || αὐτῶν πήξαντες, διεσκόρπισαν τὰ σπλάγχνα αὐτῶν, καὶ ἔτι ζῶσαι τὰς **163**
κεφαλὰς ἀπετμήθησαν ξίφεσιν. οἱ δὲ | ἅμα αὐταῖς παραγενάμενοι ἀπὸ τῆς Ῥω- 68[1]
μαίων χώρας πλείους ὑπῆρχον ἑβδομήκοντα, οἱ δὲ σφαγέντες μετὰ τῶν ἁγίων
Γαιανῆς καὶ Ῥιψίμης ἅμα ταῖς λοιπαῖς τριάκοντα ἑπτὰ ἦσαν τὸν ἀριθμόν. το-
σοῦτος ἦν ὁ χορὸς τῶν μαρτύρων. τῇ εἰκάδι οὖν καὶ ἕκτῃ τοῦ μηνὸς Σεπτεμ-
βρίου ἐτελειώθη ἡ ἁγία Ῥιψίμη ἅμα τοῖς σὺν αὐτῇ ἀθληταῖς, εἰκάδι δὲ καὶ ἑβδό-
μῃ τοῦ αὐτοῦ μηνὸς ἡ ἁγία Γαιανὴ σὺν ταῖς δυσὶν ἔλαβεν τὸν στέφανον τῆς νίκης.

**89** ἐπεὶ οὖν ἓξ ἡμέρας διέμεινεν βαθυτάτῃ λύπῃ κατασχεθεὶς ὁ βασιλεὺς **164**
ἀπὸ τῆς ἐπιθυμίας τοῦ κάλλους Ῥιψίμης, καὶ μετὰ ταῦτα ἠβουλήθη εἰς θήραν
ἐξελθεῖν ἅμα τῷ στρατεύματι. καὶ ἑτοιμαζόντων τῶν πεζῶν τὰ λίνα, καὶ μελ-
λόντων ἀπελθεῖν εἰς τὴν θήραν ἐν τῇ πεδιάδι τῇ καλουμένῃ Φαρακάνῃ Σεμάκων,
ἀνῆλθεν ἐν τῷ ἅρματι ὁ βασιλεύς, καὶ καθίσας ἐξῄει τὴν πόλιν. καὶ εὐθέως
τιμωρία παρὰ τοῦ θεοῦ ἐπιφθάσασα παίει τὸν βασιλέα ἐπὶ τῷ ἅρματι, πνεῦμα ἀκά-
θαρτον, καὶ εἰς γῆν καταβάλλει. καὶ ἤρξατο μαίνεσθαι καὶ τὰς ἰδίας σάρκας
κατεσθίειν. | ἀλλὰ καὶ κατὰ τὴν ὁμοίωσιν Ναβουχοδονόσορ τοῦ βασιλέως Βαβυ- 68[2]
λῶνος ἀπὸ φύσεως ἀνθρωπίνης γενόμενος ἐν μορφῇ συάγρων ἀλλαγείς, μετ' αὐ-
τῶν ᾤκει εἰς τοὺς καλαμῶνας, καὶ γυμνωθεὶς παντελῶς τὴν πεδιάδα περιῄει. **165**
οὐδὲ γὰρ οἱ ἐν τῇ πόλει βουλόμενοι κρατῆσαι αὐτὸν ἴσχυον διὰ τὴν φυσικὴν αὐτῷ
δύναμιν προσοῦσαν καὶ τὴν τῶν δαιμόνων μανίαν τῶν ἐν αὐτῷ οἰκισθέντων. ἀλλὰ
καὶ πλεῖστοι τῶν ἐν τῇ πόλει ἀνθρώπων τὸν αὐτὸν τρόπον δαιμονισθέντες ἐμαί-
νοντο, καὶ φοβερὰ καταστροφὴ πάσῃ τῇ χώρᾳ ἐπέφθασεν. οἱ δὲ τοῦ βασιλέως
οἰκεῖοι, δοῦλοί τε καὶ ὑπηρέται, ὡσαύτως πάντες ὁμοῦ τιμωρίαις πολλαῖς ἐκο-
λάζοντο.

**90** ἐν ἐκείνῳ οὖν τῷ καιρῷ ὀπτασία ἐπεφάνη τῇ τοῦ βασιλέως ἀδελφῇ, τῇ
καλουμένῃ Κουσαρωδούκτᾳ. ἐλθοῦσα οὖν διηγεῖτο τοῖς ἀνθρώποις καὶ ἔλεγεν·
Ὅραμα ἐθεασάμην ταύτῃ τῇ νυκτί· ἄνθρωπος εἷς φωτοειδέστατος παραστὰς ἔφη
πρός με ὅ||τι Οὐδεμία ἴασις τῆς πληγῆς τῶν βασάνων ὑμῶν γενήσεται, ἐὰν μὴ **166**

70 Psalm μγ 23

76 ἐξέδηραν | 77 μασθῶν | 79 διεσκόρπησαν | 80 81 wirklich Masculinum m | 82 ῥιψήμης | 83 εἰκάδη | 84 ῥιψήμη | 84 εἰκάδη m[1], später (obwohl von erster Hand) gebessert | 87 ῥιψήμης | 88 λινὰ | 89 πεδιάδη | 89 φαρακάνης ἐμάκων | 90 ἐξίει | 94 συ[illegible]άγρων | 95 τ οὺς | 95 περιείη | 96 βουλούμενοι | 97 οἰκησθέντων

69[1] πέμψαντες ἐν τῇ Ἀρταξὰτ πόλει, ἐκεῖθεν ἐνέγκητε τὸν δέσμιον Γρηγόριον, ἵνα
αὐτὸς ἐλθὼν διδάξῃ ὑμᾶς φάρμακον ἰάσεως. ἀκούσαντες δὲ οἱ ἄνθρωποι κατε-
γέλων τῶν αὐτῆς ῥημάτων, λέγοντες Τάχα καὶ αὐτὴ συμμαίνῃ, ἀπὸ δαίμονος
ἐλαυνομένη· πῶς γὰρ οὔ; ἰδοὺ δεκαπέντε ἔτη πληροῦνται ἀφ' οὗ αὐτὸν ἐρρίψα-
μεν ἐν τῷ κρημνῷ, καὶ λέγεις αὐτὸν ζῆν; ποῦ γὰρ κἂν τὰ ὀστᾶ εὑρίσκεται; ἐν
αὐτῇ γὰρ τῇ ὥρᾳ ἐν ᾗ ἐκεῖ ἐχαλάσθη, ἀπὸ τῆς θέας τῶν ἡμῶν ὀφθαλμῶν ἀνη-
λώθη. δεύτερον οὖν καὶ τρίτον ὁ φανεὶς αὐτῇ μετὰ μείζονος ἀπειλῆς ἔλεγεν·
167 Ἐὰν μὴ συχνῶς διηγήσῃ, μεγάλας τιμωρίας καὶ αὐτὴ δέξῃ. αἱ δὲ βάσανοι τῶν
ἀνθρώπων καὶ τοῦ βασιλέως ἐπλεόναζον, καὶ ὁ θάνατος ἐνώχλει. εἰσελθοῦσα
οὖν πάλιν ἐν μεγάλῃ σπουδῇ Κουσαρωδούκτα διηγήσατο τοὺς λόγους.

91 εὐθέως οὖν ἀποστέλλουσι τιμιώτατόν τινα σατράπην, Αὐταΐαν ὀνόματι,
69[2] ἀπελθεῖν ἐν τῇ Ἀρταξὰτ πόλει. οἱ | δὲ πολῖται, ὡς ἐθεάσαντο αὐτὸν ἐρχόμε-
νον, ἐξιόντες εἰς ἀπάντησιν αὐτοῦ μετὰ χαρᾶς, ἐπυνθάνοντο τὴν αὐτοῦ παρουσίαν.
καὶ εἶπεν αὐτοῖς Διὰ τὸν δέσμιον Γρηγόριον πάρειμι, ἐκβαλεῖν αὐτὸν ἀπὸ τῆς φυ-
λακῆς. τῶν δὲ θαυμαζόντων καὶ λεγόντων Ἆρα ζῇ; πολλὰ γὰρ ἔτη ἐστὶν
ἀφ' οὗ ἐρρίφη ἐκεῖ. εἶτα αὐτὸς διηγήσατο τὸ ὅραμα καὶ τὰ γενόμενα ἔργα.
ἐνέγκαντες οὖν σχοινία μακρὰ καὶ στιβαρά, προσδήσαντες σχοίνους μακρούς, ἐχά-
λασαν κάτω. ἀνεβόησεν οὖν Αὐταΐας ὁ σατράπης μεγάλῃ τῇ φωνῇ καὶ εἶπεν·
168 Γρηγόριε, εἰ ‖ ἔτι ἐν τοῖς ζῶσιν ὑπάρχεις, δεῦρο ἔξω· ὁ γὰρ κύριος ὁ θεός σου
ᾧ αὐτὸς λειτουργεῖς, ἐκέλευσέν σε ἀνελθεῖν. καὶ εὐθέως ἀναστάς, καὶ δραξάμε-
νος τῶν σχοινίων, ἐκίνει αὐτά. αἰσθόμενοι οὖν, καὶ ἀνελκύσαντες αὐτόν, ἀνα-
φέρουσιν. καὶ ἐθεάσαντο ὅτι τὸ σῶμα αὐτοῦ μεμελάνωτο ὡς δαλός. καὶ προ-
σενέγκαντες ἱμάτια ἐνέδυσαν αὐτόν, καὶ μετὰ χαρᾶς πλείστης λαβόντες αὐτόν,
70[1] ἀπὸ τῆς Ἀρταξὰτ τῆς πόλεως ἔρχονται | εἰς Οὐαλεροκτίστην πόλιν.

92 τότε οὖν ὁ βασιλεὺς διὰ τὴν ἀπὸ τοῦ δαίμονος μάστιγα ἀγόμενος βίᾳ,
εἰς ὑπάντησιν ἔρχεται τοῦ ἁγίου, γυμνὸς καὶ ἐπονείδιστος. οἱ δὲ σατράπαι ἔξω
τῆς πόλεως παραμένοντες προσεδέχοντο αὐτούς. θεασάμενοι οὖν ἐρχόμενον τὸν
ἅγιον Γρηγόριον ἅμα Αὐταΐᾳ τῷ σατράπῃ, πολλῶν ἐπακολουθούντων αὐτοῖς ὄχλων
ἀπὸ Ἀρταξὰτ τῆς πόλεως, προσεχώρουν εἰς συνάντησιν αὐτῶν δαιμονιαζόμενοι
169 καὶ τὰς ἰδίας σάρκας ἐσθίοντες, καὶ ἀφρίζοντες ἔπιπτον ἔμπροσθεν αὐτοῦ. ὁ δὲ
ἅγιος εὐθὺς γόνυ κλίνας, ἤρξατο ἐκτενῶς περὶ αὐτῶν. ὡς δὲ ἀνένηψαν, ἐκέ-
λευσεν αὐτοὺς περιβαλέσθαι ἱμάτια καὶ σκεπάσαι αὐτῶν τὰ ἀσχήμονα. προσελ-
θὼν οὖν ὁ βασιλεὺς μετὰ τῶν σατραπῶν ἐπελάβοντο τῶν ποδῶν τοῦ παναγίου
Γρηγορίου, καὶ ῥίψαντες αὐτοὺς εἰς τὴν γῆν, ἀντεβόουν λέγοντες· Αἰτούμεθα
παρὰ σοῦ, μὴ μνησθῇς τῶν κακῶν ἡμῶν ἐν οἷς σὲ ἐθλίψαμεν. αὐτὸς δὲ ἐξε-
70[2] γείρας αὐτούς, ἔλεγεν πρὸς αὐτοὺς Κἀγὼ καθ' ὑ|μᾶς ἄνθρωπος ὑπάρχω, σῶμα
ἔχων ὁμοιοπαθὲς ὑμῖν. ὑμεῖς δὲ γνῶτε τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν,

24 Ioh 11, 43

7 διδάξει | 13 διηγήσει | 22 στηβαρὰ | 25 λειτουργῇς | 30 μάστηγα ἀγώμενος | 36 ἀνένιψαν | 37 ἀυτὸν m[1], von erster Hand in ἀυτῶν gebessert

ἥλιόν τε καὶ σελήνην σὺν τοῖς ἄστροις, τὴν θάλασσάν τε καὶ τὴν ξηράν, τὸν καὶ
ὑμᾶς δυνάμενον ἰάσασθαι.

**93** καὶ εὐθέως ἤρξατο ὁ ἅγιος Γρηγόριος πυνθάνεσθαι. Ποῦ (φησίν) εἰσὶν
κείμενα τὰ σώματα τῶν τοῦ θεοῦ μαρτύρων; || ἔφησαν ἐκεῖνοι Ποίων μαρτύρων λέ- 170
γεις; εἶπεν αὐτοῖς Τῶν διὰ Χριστὸν ἀποθανόντων ὑφ᾽ ὑμῶν. καὶ εἶπον πρὸς αὐ-
τὸν Δεῦρο καὶ ἴδε τὸν τόπον. δραμὼν οὖν ὁ ἅγιος, συνέστειλεν τὰ αὐτῶν λείψανα·
ἔκειντο γὰρ ἐν τῷ τοῦ θανάτου αὐτῶν τόπῳ ἐρριμμένα, φυλαχθέντα δὲ διὰ τῆς τοῦ
θεοῦ δυνάμεως, ἐννέα ἡμέρας καὶ τὰς ἴσας νύκτας ἐσκορπισμένα ἔξω τὰ σώματα,
μήτε θηρίου ἁψαμένου μήτε κυνός (ἐγγὺς γὰρ περὶ τὴν πόλιν ἦσαν), ἀλλ᾽ οὐδὲ
πετεινὸν ἐφιζάνειν ἠδυνήθη, οὐδὲ μὴν ὤζεσαν τὰ σώματα αὐτῶν. προσήνεγκαν οὖν
πολυτελέστατον ἱματισμὸν τῆς κηδεύσεως χάριν ὁ βασιλεὺς καὶ πάντες. | ὁ δὲ ἅ- 71[1]
γιος Γρηγόριος οὐκ ἄξια αὐτῶν ἔκρινε ταῦτα, ἀλλ᾽ ἐν τοῖς ἰδίοις ἱματίοις σκεπά-
σας αὐτά, εἶπεν πρὸς πάντας· Οὕτως ἐχέτωσαν ἕως οὗ γένησθε ὑμεῖς ἄξιοι τοῦ
τιμῆσαι τὰ σώματα || αὐτῶν. καὶ συνάψας τὰ λείψανα ἀνεχώρησεν εἰς τὴν ληνὸν 171
ὅπου τὸ πρότερον ἡ καταμονὴ αὐτῶν ὑπῆρχεν, κἀκεῖσε ἔμεινεν. καὶ δι᾽ ὅλης τῆς
νυκτὸς ὁ πανάγιος Γρηγόριος τῷ θεῷ εὐξάμενος περὶ τῆς σωτηρίας αὐτῶν, ἐζή-
τει πῶς ἵνα μετανοήσαντες σωθῶσιν. τῇ δὲ ἐπιούσῃ ὁ βασιλεὺς μετὰ τῶν σατρα-
πῶν καὶ τῶν μεγιστάνων καὶ συμμίκτων ὁμοῦ καὶ παντὸς τοῦ ὄχλου γονυπετοῦν-
τες ἔμπροσθεν τοῦ ἁγίου Γρηγορίου καὶ τῶν ἁγίων μαρτύρων καὶ κλαίοντες ἔλε-
γον Συγχώρησον ἡμῖν τὰ κακὰ ἡμῶν, τὰ παρ᾽ ἡμῶν σοὶ γενόμενα, καὶ αἴτησαι
παρὰ τοῦ θεοῦ σου ἵνα μὴ ἀπολώμεθα.

**94** ὁ δὲ ἅγιος Γρηγόριος ἔφη πρὸς αὐτοὺς Ὃν λέγετε θεόν σου, θεός ἐστιν
ἀληθινὸς καὶ ποιητὴς παντοδύναμος, | αὐ||τοθέλητος, ἀγαθουργός, ἄχρονος, 172 71[2]
ἄυλος, ἄποσος, αὐτοτελής, ἔνυλα δὲ ποιήματα διὰ τῆς ἀειδίου αὐτοῦ γνώσεως συστη-
σάμενος, ἐκ τῆς ἀνυπαρξίας τὸν κόσμον πήξας ἡτοίμασεν. ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
εἶναι προελθεῖν τὰ σύμπαντα ἐποίησεν ὁ θεός. παντοκράτορα οὖν κύριον αὐτὸν
γνῶτε, ὅπως ἰαθῆτε ἀπὸ τῆς ἐπιτιμίας τῆς παρ᾽ αὐτοῦ ἐπελθούσης ὑμῖν. ὅστις
ἕνεκεν τῆς ἰδίας φιλανθρωπίας καὶ τοῦ ἐλέους ἐπαίδευσεν ὑμᾶς, κατὰ τῆς θείας
γραφῆς Σοφίας εἰπούσης Ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει. μαστιγοῖ δὲ πάντα υἱὸν
ὃν παραδέχεται. αὐτὸς οὖν διὰ τῆς ἰδίας φιλανθρωπίας προσκαλεῖ ὑμᾶς εἰς υἱο-
θεσίαν, καὶ ἀληθινὸς ὢν υἱὸς τοῦ θεοῦ, οὐκ ἐπαισχύνεται ἀδελφοὺς ὀνομάσαι τοὺς
ἐπιστρέφοντας εἰς τὴν αὐτοῦ προσκύνησιν, καὶ τὸ πνεῦμα τὸ ἅγιον χαρίζεται ἀρ-
ραβῶνα τῆς ἀγάπης αὐτοῦ, καὶ ἱλαροῖ τὰς καρδίας ὑμῶν εἰς τὴν παραμόνιμον 173
εὐφροσύνην, μόνον ἵνα ἐπιστρέψαντες κατὰ τὸ θέλημα αὐτοῦ πορεύεσθε, ἵνα πα-
ράσχῃ ὑμῖν καὶ τὴν ἀθα|νασίαν. 72[1]

**95** πλὴν ὅτι θεόν μου καλεῖτε, καλῶς ποιεῖτε. τῶν γὰρ ἐπιγνόντων ἐστὶ
θεός, οἱ δὲ μὴ ἐπιγνόντες, κἂν ποιήματα αὐτοῦ ὑπάρχουσιν, ἀλλότριοί εἰσιν τῆς
κηδεμονίας αὐτοῦ καὶ τῆς φιλανθρώπου ἀγάπης. οἱ δὲ φοβούμενοι αὐτὸν ἐγγίζου-

67 Macc β 7, 28 Rom 4, 17 | 71 Prov 3, 12 | 74 Cor β 1, 22

52 ὄζεσαν | 58/59 ἐζήτη | 59 so | 66 ἀϊδίου | 76 πορεύεσθαι | 78 ποιῆτε | 78 ἐπιγνώντων | 79 ἐπιγνῶντες

σιν αὐτῷ. καὶ ἡ ἐπισκοπὴ αὐτοῦ περικυκλοῦσα φυλάττει αὐτούς. ἐὰν δὲ εἴπητε
Ποῦ ἔστιν, ὅτι σκεπάζει τοὺς φοβουμένους αὐτόν; οἱ γὰρ ἐν ταῖς χερσὶν ἡμῶν
ἐμπεσόντες ἐν βασάνοις ἀπέθανον. καὶ καθ' ὡς ἠβουλήθημεν, πεποιήκαμεν αὐ-
τοῖς — γνῶτε ὅτι θέλει ὁ θεὸς τὴν ἀνάπαυσιν τοῦ θανάτου τῶν ἀνθρώπων, καὶ
ἐν τῇ δευτέρᾳ παρουσίᾳ τῆς αὐτοῦ δόξης ἀποκαλύπτει τὰ ἀγαθά, ὥστε δοῦναι
αὐτὰ τοῖς αὐτοῦ ἀγαπητοῖς καὶ τοῖς γινώσκουσι καὶ ποιοῦσι τὸ θέλημα αὐτοῦ.
174 βλέπετε γὰρ πῶς || τῇ ἰδίᾳ δυνάμει ὁ θεὸς ἐφύλαξεν βεβαίας τὰς ἁγίας αὐτοῦ μάρ-
τυρας, καὶ οὐδὲ αἱ πολλαὶ θλίψεις ἀποχωρίσαι αὐτοῦ μίαν ἐξ αὐτῶν ἠδυνήθησαν.
$72^{2}$ περιεσώσατο δὲ καὶ τὴν | ἁγίαν αὐτοῦ Ῥιψίμην μετὰ τῶν συνουσῶν αὐτῇ ἀπὸ τοῦ
ὑμετέρου μιάσματος καὶ τῆς ἀνομίας. ἡ δὲ ἀπάτη τῆς παγίδος τοῦ ἐχθροῦ ἀπ'
ἀρχῆς ἀπατήσασα τὸν ἄνθρωπον, ὁδοιπόρον αὐτὸν τῆς ἀπολλυμένης ὁδοῦ κατέ-
στησεν. τὴν δὲ ἐμὴν ἀναξιότητα ὁ θεὸς ὡς ἠθέλησεν, κατηξίωσε διὰ τῆς ἰδίας
φιλανθρωπίας παθεῖν ὑπὲρ τοῦ μεγάλου ὀνόματος αὐτοῦ, καὶ δέδωκέν μοι ὑπο-
μονήν, ἵνα καταλάβω τοὺς ἰδίους κλήρους, καθ' ὡς εἶπεν ὁ μέγας ἀπόστολος Παῦ-
λος, ὃν γένοιτο καὶ ὑμᾶς γνῶναι καὶ τῶν λόγων αὐτοῦ ἀπολαύειν ἐν τῇ φιλαν-
175 θρωπίᾳ τοῦ Χριστοῦ. εὐλογητὸς ὁ θεὸς ὁ καταξιώσας ἡμᾶς εἰς τὴν μερίδα || τοῦ
κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ἀληθῶς γὰρ κατελάβομεν κοινωνοὶ γενέσθαι τῶν
καυχημάτων, ἵνα κοινωνήσαντες τοῖς παθήμασι τοῦ Χριστοῦ, ἀπολαύσωμεν καὶ τῆς
αὐτοῦ ἀθανάτου δόξης.

96 αὐτὸν γνῶτε, τὸν καλέσαντα ὑμᾶς εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς τῆς
$73^{1}$ θεότητος, ἵνα προσελθόντες τῷ | θρόνῳ τῆς χάριτος αὐτοῦ, εὕρητε ἔλεος παρ' αὐ-
τοῦ, καὶ ἀποτινάξαντες πάντα ῥύπον τῆς κακίας καὶ ἀνομίας, ἀπολούσησθε τὰς
ψυχὰς ὑμῶν ὕδατι ζῶντι, καὶ τὴν τοῦ φωτὸς καὶ τῆς δόξης στολὴν ἐνδύσασθαι
καταξιωθῆτε τὰς ψυχὰς ὑμῶν. περὶ δὲ τῆς ἁγίας Ῥιψίμης ὑμεῖς οἴδατε πῶς
ἐφύλαξεν αὐτὴν ὁ κύριος, καὶ περιεποιήσατο ἀπὸ τῶν ἀνόμων καὶ ἀκαθάρτων ὑ-
μῶν χειρῶν. καὶ αὐτὸς σύ, βασιλεῦ, ἐπίστασαι τὴν σὴν ἀνδρείαν καὶ ἀρετήν, πῶς
176 ἐγένου ἀσθενὴς ἐνώπιον μιᾶς κόρης. ἐφύλαξεν γὰρ αὐτὴν ἡ δύναμις || τοῦ δεσπό-
του αὐτῆς Χριστοῦ. περὶ δὲ ἐμοῦ οὐκ ἀγνοεῖς ὅτι ἤδη δεκαπέντε ἔτη πληρώ-
σαντός μου, καὶ κειμένου ἐν τῷ σκοτεινῷ καὶ βαθυτάτῳ κρημνῷ ἐν μέσῳ ὄφεων
καὶ σκορπίων κατοικοῦντα, διὰ τὸν τοῦ κυρίου φόβον οὐκ ἐβλάβην, οὐδὲ ἐφοβήθην
οὐδὲ ἐξέστη ἡ καρδία μου. πεποιθὼς γὰρ ἤμην κυρίῳ τῷ θεῷ τῷ ποιητῇ τῶν
$73^{2}$ ἁπάντων. περὶ δὲ τούτων ἐπιστάμεθα ὅτι ἐν ἀγνοίᾳ πεποιήκατε. | νῦν δὲ ἐπιστρέ-
ψατε, καὶ γνῶτε τὸν κύριον, ἵνα ἐλεήσας σώσῃ ὑμᾶς, καὶ τοὺς τεθνηκότας μὲν
ὑμῖν, ζῶντας δὲ τῷ θεῷ, εἰς πρεσβείαν ἐπικαλέσασθε. ζῶσιν γάρ, καὶ οὐκ ἀπέ-
θανον. καὶ γνῶτε τὸν θεόν· αὐτὸς γὰρ ἐστὶ δεσπότης τῶν ἁπάντων.

97 ἀπόστητε τῶν βδελυρῶν σεβασμάτων, λιθίνων καὶ ξυλίνων, ἀργυρέων καὶ
177 χρυσέων καὶ χαλκῶν ἰνδαλμάτων· ψευδῆ γὰρ εἰσὶ καὶ μάταια. || προέλεγον γὰρ ὑ-

94 Philipp 3, 12? | 100 Petr α 2, 9

84 θέλη | 84 ὁ θσ̄ m am Rande erster Hand als Besserung des im Texte stehenden κύριος | 89 ῥι-ψήμην | 3 ἐνδύσασθε m[1], von erster Hand αι über dem Schlußvocale | 4 ῥιψήμησ | 8 ἀγνοῆσ | 9 σκοτει-νοῦ | 9 κριμνῷ | 10 so | 13 σώσει | 16 λιθήνων

μῖν περὶ ταύτης τῆς πλάνης ὑμῶν ὅτι ὀμίχλη ζοφερὰ καὶ σκότος παχύτατον ἐπι-
κάθηται τοῖς ὀφθαλμοῖς τῆς καρδίας ὑμῶν, καὶ οὐκ ἠδυνήθητε ἀναβλέψαι καὶ
νοῆσαι, ὅπως τὸν ποιητὴν γνῶτε. εἰ δὲ ἐν τῇ παρούσῃ εὐθύτητα θεάσομαι παρ'
ὑμῶν, εἰς τὴν τῆς θεότητος αὐτοῦ λατρείαν σπευδόντων προσπελάσαι, μὴ γέ-
νοιτό μοι παύσασθαι νυκτὸς καὶ ἡμέρας ὑπὲρ ὑμῶν δεηθῆναι, ἵνα μὴ ἀπόλησθε.
ἄφατος γάρ ἐστιν ἡ φιλανθρωπία τοῦ ποιητοῦ καὶ ἀνεξερεύνητος καὶ ἀνεκδι|ήγη- 74[1]
τος πρὸς τὰ αὐτοῦ ποιήματα, ἐπεὶ διὰ τῆς μακροθυμίας ἀνέχεται, συγχωρεῖ, ἐκ-
δέχεται, φείδεται διὰ πολλοὺς οἰκτιρμούς. ὃς καὶ ἀπὸ τῶν ἀρχαίων ἡμερῶν εἴ-
ασεν πορεύεσθαι τοὺς ἀνθρώπους κατὰ τὸ θέλημα αὐτῶν καθ' ὡς γέγραπται
Ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύεσθαι τοῖς
ἐπιτηδεύμασιν αὐτῶν. νῦν δὲ || προσκαλεῖ ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ὥστε **178**
γενέσθαι ὑμᾶς κληρονόμους τῆς ἀφθάρτου ζωῆς, ἥτις οὐ παρέρχεται. διὰ τοῦτο
καὶ τοὺς ἀγαπητοὺς αὐτοῦ μάρτυρας ἐξαπέστειλε πρὸς ὑμᾶς, οἳ ἐν τῷ μαρτυρίῳ
ὡμολόγησαν τῆς ὁμοουσίου τριάδος τὴν δεσποτείαν τῷ ἐπὶ πάντων θεῷ, τῷ ἀπ'
αἰῶνος καὶ εἰς τοὺς αἰῶνας, οὗ ἡ βασιλεία βασιλεία αἰώνιος, καὶ τῆς δεσποτείας
αὐτοῦ οὐκ ἔσται τέλος. ἔθεντο οὖν τὸν θάνατον αὐτῶν σφραγῖδα πιστικωτάτην τῆς
ἀληθοῦς | αὐτῶν καὶ βεβαίας πίστεως. 74[2]

**98** οἳ ζῶσι τῷ θεῷ, καὶ πρεσβεύουσι πρὸς τὸν θεὸν τοῖς δυναμένοις κτή-
σασθαι αὐτούς. ἐπειδὴ γὰρ διὰ τὸν θεὸν ἀπέθανον, δύνανται τὴν πολλῶν νεκρό-
τητα ζωοποιῆσαι. διὰ τούτους οὖν διαλλά||γητε τῷ θεῷ ἐν τῷ θανάτῳ τοῦ υἱοῦ **179**
αὐτοῦ. ὁ γὰρ υἱὸς τοῦ θεοῦ ἀπέθανεν, ἵνα τὴν τῆς κτίσεως νέκρωσιν ζωοποιήσῃ,
οὗτοι δὲ ἀπέθανον, ἵνα μάρτυρες γένωνται τῆς θεότητος αὐτοῦ. ἔπαθεν γάρ, οὐχ
ὅτι χωρὶς τοῦ ἰδίου θανάτου ζωὴν ἡμῖν οὐκ ἠδύνατο χαρίσασθαι, ἀλλ' ἵνα με-
γαλύνῃ τὸ πλάσμα αὐτοῦ διὰ τῆς ἰδίας ἐξουδενώσεως, καὶ τοὺς εὐτελεῖς ὑψώσῃ,
καθ' ἡμᾶς γενόμενος. πάλιν δὲ ἀπέθανον οὗτοι, οὐχ ὅτι ἐκτὸς τῆς τούτων
μαρτυρίας οὐκ ἐγίνετο πιστός, ἀλλ' ἵνα μεγαλυνθῶσιν οὗτοι οἱ ἠγαπηκότες αὐτόν.
ἀλλὰ καὶ τὴν ἐμὴν πνοὴν ἐφύλαξεν ἐν τῷ σώματί μου, εἰ καὶ ἐπέφθασάν με θλί-
ψεις καὶ | ἀνάγκαι βαρύταται πόνων, περισσοτέρως θλιβέντος μου τῶν λοιπῶν ἀν- 75[1]
θρώπων. πῶς γὰρ ἦν δυνατόν, μίαν ἡμέραν ὑπενεγκεῖν ἀνθρωπίνῃ φύσει τὸ βά-
ρος τῶν βασάνων; ἢ πῶς ἠδύνατο ἄνθρωπος βαστάξαι μίαν ὥραν ἐν τῷ φοβερω- **180**
τάτῳ ἐκείνῳ βάθει, ἐν ᾧ τεθαμμένος ἐκείμην ἐν μέσῳ ὄφεων, οἳ καὶ κυκλοῦν-
τες ἀνέβραζον περὶ τὸ ἐμὸν σῶμα, καὶ περιειλούμενοι ἐσκάριζον ἐπ' ἄνω τῶν ἐ-
μῶν μελῶν; ὅμως δὲ τὸ πολυθαύμαστον ἔλεος τοῦ κυρίου ἐφύλαξέν με ζῶντα, καὶ
ὧν οὐκ εἰμὶ ἄξιος λόγων ἐργάτην με πεποίηκεν, πρὸς ἴασιν ψυχῶν καὶ σωμάτων.
καὶ ἰδοὺ ἐργατικῶς ἕτοιμοί ἐσμεν τὴν γῆν τῶν ψυχῶν ὑμῶν ἐργάζεσθαι καὶ τὴν
ὑμῶν ὠφέλειαν παρὰ τῆς τοῦ θεοῦ φιλανθρωπίας προσφέρειν ὑμῖν.

**99** καὶ ἤδη ἠρξάμην ὑμῖν θέσθαι τὰ ἐπουράνια λόγια ψωμίζειν ὑμᾶς, ἐὰν

27 Psalm π 13

22 ἀπόλεσθε | 25/26 ἔασεν | 28 προσκαλέσθαι m, am Rande von erster Hand προσκαλέσας, wo ας mit Sigle geschrieben ist | 29 ἥτις L, εἴ τις m | 31 ὁμολόγησαν | 33 πιστικοτάτην | 36/37 νεκρώτητα | 38 ζωοποιήσει | 40/41 μεγαλύνει | 41 ὑψώσει | 51 λόγων· | 54 θέσθαι nicht sicher zu lesen

75[2] εἰσακούσητε τοὺς λόγους τοῦ νόμου τῆς | κηρύξεως τῶν πάντων δημιουργοῦ, καὶ
λυτρωθῆτε ἁγιασθέντες ἀπὸ τῆς πικρᾶς ταύτης ἐπιφθασάσης ὑμῖν ἐπιτιμίας, καὶ
τῆς αἰωνίου ζωῆς ἀπολαύσητε, καὶ ἀκούσαντες δέξησθε τὰ ἀγαθὰ τῆς ἐπουρα-
**181** νίου βασιλείας εἰς τὰς ψυχὰς ὑμῶν. ‖ νῦν οὖν ἐὰν σπεύσητε καθαρισθῆναι ἀπὸ τῶν
τῆς ἀγνοίας ἁμαρτιῶν, τῶν λιθίνων καὶ ξυλίνων σεβασμάτων, καὶ τὰ ἀνεκλάλητα
ἀγαθὰ τοῦ θεοῦ εἰς τὰς ψυχὰς ὑμῶν δέξασθαι ἰσχύσητε, τότε καὶ οἱ ἅγιοι μάρ-
τυρες τοῦ θεοῦ οἱ παρ' ὑμῶν παθόντες ὑπὲρ ὑμῶν πρεσβεύσουσιν, καὶ οἱ λόγοι ἡ-
μῶν πόνοι τε καὶ κόποι εἰς ὠφέλειαν ὑμῶν σπαρήσονται, ἀγαθήμεροί τε πολυχρό-
νιοί τε ταύτης τῆς ζωῆς ἀπολαύσαντες, κληρονόμοι γενήσεσθε τῶν μελλόντων ἀ-
γαθῶν καὶ ἐπουρανίων ἀπολαύσεων. εἰ δὲ μὴ βουληθῆτε ὑπακούειν τοῦ λόγου τοῦ
76[1] κηρύγματος τῆς ζωῆς, ἐνταῦθα ἤδη πατάξει ὑμᾶς ἐν κακώσει καὶ βασάνοις, | καὶ
ἐξολοθρεύσας χερσὶν ἀλλοτρίαις ἐχθρῶν ὑμῶν παραδώσει ὑμᾶς, καὶ μνησικακή-
σας θανάτῳ ἀπαλλάξει ὑμᾶς.

**182** **100** καὶ ὡς ἐλάλησε ταῦτα πάντα ὁ ἅγιος Γρηγόριος, ‖ πάντες ὁμοῦ περιέ-
σχισαν τὰς στολὰς αὐτῶν, ὁ βασιλεύς τε καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ τὸ λοιπὸν
πλῆθος τῶν ἀνθρώπων, πάσσοντές τε κονιορτόν, ἐπὶ τὴν γῆν ἐκάθηντο, καὶ ἔλε-
γον ὁμοθυμαδὸν ὡς ἐξ ἑνὸς στόματος Ἆρα ἔστιν ἡμῖν ἐλπὶς συγχωρήσεως παρὰ
θεῷ; ἡμεῖς γὰρ ἀπολλύμενοι ἐγενήθημεν ἐν τῇ ἀγνοίᾳ ἡμῶν καὶ ταῖς σκοτεινο-
τάταις ὁδοῖς. νῦν δὲ πῶς ἀφεθήσονται αἱ πολλαὶ αὗται ἁμαρτίαι ἡμῶν; ὁ δὲ ἅ-
γιος Γρηγόριος ἔφη πρὸς αὐτοὺς Φιλάνθρωπός ἐστιν ὁ κύριος καὶ μακρόθυμος
καὶ πολυέλεος καὶ οἰκτίρμων· πρὸς πάντας τοὺς ἐπικαλουμένους αὐτὸν καὶ τοὺς
ἐκζητοῦντας αὐτὸν μισθαποδότης γίνεται. οἱ δὲ ἔλεγον πρὸς αὐτὸν Γνώρισον ἡμῖν
καὶ βεβαίωσον τὰς καρδίας ἡμῶν, πάτερ ἡμῶν, ὅπως δυνηθῶμεν παρακαλέσαι
76[2] | τὸ πρόσωπον τοῦ κτίσαντος ἡμᾶς, εἰ ἄρα ἐπιστραφεὶς πάλιν δέξηται ἡμᾶς εἰς
**183** μετάνοιαν, καὶ εἰ ἔτι ἔστιν τόπος τῆς ἐπιστροφῆς ἡμῶν, ‖ καὶ οὐ περικέκοπται ἡ
ἐλπὶς τῆς ζωῆς ἡμῶν παρ' αὐτοῦ. καὶ αὐτὸς οὐ μνησικακήσεις ἡμῖν περὶ πάν-
των τῶν παρ' ἡμῶν σοὶ γεναμένων, καὶ παρέξεις ἡμῖν τὴν εὐθυτάτην διδασκαλίαν,
καὶ μὴ μισήσας παρατρέψεις ἡμᾶς ἀπὸ τῆς δικαίας καὶ εὐθείας ὁδοῦ. πάντες
οὕτως ἅμα τῷ βασιλεῖ ἐκραύγαζον, ὀλολύζοντες κλαυθμῷ, γῆν πασσόμενοι ἐνώπιον
αὐτοῦ, μὴ δυνάμενοι δὲ μίαν ὥραν χωρισθῆναι αὐτοῦ διὰ τὴν φοβερὰν τῶν δαιμό-
νων μανίαν. εἰ γὰρ πρὸς ῥοπὴν ἀφίσταντο, εὐθέως τῶν δαιμόνων ἐπιπεσόντων, τοὺς
ἀνθρώπους μαίνεσθαι συνέβαινεν καὶ κατεσθίειν τὰς ἰδίας σάρκας.

**101** ὅτε οὖν ἤκουσεν ὁ πανάγιος Γρηγόριος τοὺς λόγους αὐτῶν οὓς ἐλά-
**184** λησαν ἐνώπιον αὐτοῦ, δακρύσας ἐπὶ πολὺ εἶπεν πρὸς αὐ‖τοὺς Ὑμεῖς οἴδατε πόσα
77[1] μοι κακὰ ἐνεδείξασθε. | εἰ δυνατόν ἐστιν ἄνθρωπον τοσαῦτα παθεῖν καὶ βαστά-
ζειν, εἰ καὶ χωρητὸν ἀνθρώπῳ δεκαπέντε ἔτη ποιήσαντι ἐν μέσῳ ὄφεων ζῆν καὶ
μηδὲν παθεῖν παρ' αὐτῶν κακόν, πρῶτον ἐν τούτοις γνῶτε τὴν τοῦ κτίσαντος δύ-
ναμιν, ὅτι ὁ πάντων δημιουργὸς ὡς θέλει καὶ ὅτε βούλεται, ἀλλάσσει ἑκάστου τὸ

56 ἐπιτημίας | 59 λιθήνων | 61 πρεσβεύουσιν | 62 σπαρείσονται | 62 ἀγάμεροί | 63 τε B, > m | 63 γένησθε | 68 vorweg als eigene Zeile ※ κατηχεῖ αὐτούς· | 75 οἰκτίρμον· | 75 vor drittem καὶ ein Colon | 78 $\overline{πηρ}$ | 81 παρέξης | 82 μινήσας παρατρέψης | 85 εἰ B, εἰς m | 85 ῥωπὴν

ἦθος, ὡς καὶ τὸν πικρότατον καὶ ἐπιβλαβῆ αὐτῶν ἰὸν ἐν τῷ φοβερωτάτῳ ἐκείνῳ βά-
θει μετ' ἐμοῦ τοῦ ἀναξίου αὐτοῦ δούλου καταγλυκάνας ἡμέρωσεν. εἰ γὰρ καὶ ἡ-
μεῖς ἀνάξιοι ὑπάρχομεν, ἀλλὰ διὰ τὴν ὑμετέραν ὠφέλειαν φυλάξας ἡμᾶς, ἀπέδειξεν
τὴν τῶν θαυμάτων αὐτοῦ δύναμιν, καὶ παρέστησεν ἡμᾶς εἰς τὴν ὥραν ταύτην πρὸς
τὴν ὑμῶν γεωργίαν || καὶ ὠφέλειαν, τὴν ἀπὸ τῆς τοῦ θεοῦ φιλανθρωπίας, ἥτις δι' **185**
ἡμῶν προσφέρεται ὑμῖν. πάλιν ἐνδέχεται μιᾶς κόρης ἀντίστασιν πρὸς ἄνθρωπον
γίγαντα γενέσθαι, ὡς ἐθεάσασθε τοῖς ὑμε|τέροις ὀφθαλμοῖς. καὶ πῶς τοῦτο ἐγέ- $77^{2}$
νετο, εἰ μὴ παρὰ τοῦ θεοῦ ἦν δεδομένη δύναμις τῆς νίκης, ὥστε φυλάξαι τὴν αὐ-
τοῦ μάρτυρα ἄσπιλον ἀπὸ τῆς παρανόμου ὑμῶν παραβάσεως;

**102** περὶ δὲ τοῦ θανάτου τῶν αὐτῶν μακαριωτάτων μαρτύρων ὧν τὸ αἷμα
ἐξεχύθη ἐν τῇ ὑμετέρᾳ χώρᾳ, τῶν καὶ καταξιωθέντων τῆς θεϊκῆς χάριτος, καὶ
προσενεχθέντων θυσία τῷ θεῷ, τί δεῖ καὶ λέγειν; δι' οὓς καὶ ὑμῖν ἐπισκοπὴ
παρὰ τοῦ θεοῦ ζητήσεως γέγονε, τοῖς τὴν Ἀρμενίων χώραν οἰκοῦσι, καὶ ἕνεκεν
τοῦ δικαιοτάτου αὐτῶν αἵματος τοῦ ἐκχυθέντος ἰδοὺ ἄφεσις ὑμῖν χαρίζεται διὰ
τῆς ὑμῶν μετανοίας παρὰ τοῦ παντοδωροδότου θεοῦ. περὶ δὲ ἐμαυτοῦ λέγω ὅτι
εἰ καὶ μὴ ἐκ τῆς διαταγῆς τοῦ θεοῦ γενάμενος ἤμην κῆρυξ, ἀλλ' ὡς ἐξ ἰδίου
θελήματος, || οὐκ ἂν ἠδυνήθην τολμῆσαι κἂν μέχρι μιᾶς κεραίας κρύψαι ἀφ' ὑμῶν· **186**
πό|σῳ μάλιστα νῦν, λαβὼν παρὰ τοῦ θεοῦ τὸ πρόσταγμα; καθ' ἑκάστην γὰρ θε- $78^{1}$
ωροῦμεν τῷ βαθυτάτῳ κρημνῷ ἠνεῳγμένοις ὀφθαλμοῖς θεοῦ ἄγγελον διὰ παν-
τὸς παραθαρρύνοντά με καὶ λέγοντα (καθ' ἅπερ καὶ νῦν τὴν αὐτὴν θέαν θεωρῶ)
Κύριος ὁ θεὸς ἐφύλαξέν σε, καὶ ἄξιον ἔκρινεν τῆς αὐτοῦ ὑπηρεσίας, καὶ δέδωκέν
σοι ἔργον γεωργικόν, ἵνα καὶ σὺ μετὰ τῶν λοιπῶν ἐργατῶν εἰσελθὼν κομίσῃ τοὺς
μισθούς. ὑμῶν δὲ ἐμβαλόντων με ἐν ἐκείνῳ τῷ βάθει καὶ τῷ θανατοποιῷ βορ-
βόρῳ, ἐξῆλθον βουλήματι τοῦ θεοῦ ὁλόκληρος. οὐχ ὅτι ταῦτα πολλάκις λέγων
καύχημα ἐμαυτῷ περιτίθημι, ἀλλὰ τῷ μὴ δύνασθαί με κρύπτειν τὰ θαυμάσια τοῦ
θεοῦ. ἀμήχανον γάρ με ἐπιλαθέσθαι, μᾶλλον δὲ μὴ ἐξαγγεῖλαι, ἐπειδὴ περιεσώ-
σατό με ἐκ τοῦ θανά||του, τὸν τοῖς ὑμετέροις ὀφθαλμοῖς λελογισμένον νεκρόν, καθ' **187**
ὡς καὶ ὑμεῖς μαρτυρεῖτέ μοι. ἐγὼ γὰρ τεθνηκὼς ἤμην ἀφ' ὑμῶν, καὶ ὑμεῖς δὲ $78^{2}$
τοῖς παραπτώμασι νεκρωθέντες. ἀλλ' ἰδοὺ διὰ τοῦ τεθνηκότος ὑμεῖς οἱ νεκροὶ
ἅμα ζωοποιεῖσθε.

**103** ἐδόθη γάρ μοι διηγήσασθαι ὑμῖν τὰ προστάγματα τοῦ θεοῦ, ὥστε ἀπο-
στρέψαι ὑμᾶς εἰς τὴν καλλίστην καὶ ἀληθινὴν ὁδόν, καὶ ἀποστῆσαι ὑμᾶς ἀπὸ τῶν
ματαίων ὑμῶν σεβασμάτων, λιθίνων τε καὶ ξυλίνων, ἀργυρέων καὶ χρυσέων καὶ χαλ-
κῶν ἰνδαλμάτων, τῶν μηδὲν ὄντων καὶ μηδέποτε χρησιμευόντων τινί, καὶ ἐπιστρέψαι
ὑμᾶς πρὸς τὸν θεὸν τὸν ζῶντα, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα
τὰ ἐν αὐτοῖς, καὶ τὸν λόγον αὐτοῦ, τὸν μονογενῆ υἱόν, καὶ τὸ ἀείδιον αὐτοῦ πνεῦ-
μα τὸ ζωοποιόν τε καὶ ἁγιαστικὸν καὶ καθάρσιον τοῖς αὐτὸν δοξολογοῦσι | καὶ $79^{1}$

93 ἐν > | 3 Masculinum | 6 δικαιωτάτου | 7 παντοδωροδώτου | 9 κερέας | 10/11 ein (tadelnder) Punkt über dem ω von θεωροῦμεν | 12 παραθαρρύνωντά | 12 von der ersten Hand Punkt über dem ersten ω von θεωρῶ | 14 κομήσει | 17 τῷ B, τὸ m | 18 ἐπελαθέσθαι | 22 ζωοποιεῖσθαι | 23 ἐδώθη | 24 ἀποστήσασ | 25 λιθήνων | 28 αΐδιον

προσκυνοῦσι. νῦν οὖν, ἐὰν ὑμᾶς ἴδω προθύμως καὶ αὐτοπροαιρέτως ἐπιστρέψαν-
188 τας πρὸς τὴν αὐτοῦ θεότητα, μετὰ χαρᾶς καὶ ἡδύτητος ἀρξά||μενοι διηγησόμεθα
ὑμῖν περὶ τῶν δημιουργηθέντων παρ' αὐτοῦ, πῶς ὁ καλὸς κόσμος ἐκτίσθη παρὰ
τοῦ ἀγαθοῦ θεοῦ, καὶ πῶς ἡ διαγωγὴ τοῦ κόσμου ἐπρυτανεύθη, καὶ πῶς οἱ μὲν
τῶν ἀνθρώπων τὰ εὐάρεστα αὐτῷ ποιήσαντες, ἐξ ἰδίων προαιρέσεων ἐτελειώθησαν
πρὸς τὸν θεόν, οἱ δὲ τὰ κακὰ πράξαντες, ἐξετασθέντες ἤδη ἐν τῇ ζωῇ ταύτῃ,
δίκας δεδώκασι, καὶ πῶς ὁ υἱὸς τοῦ θεοῦ ἐν τῷ σώματι παρεγένετο ἐν ἀτιμίᾳ,
καὶ πῶς ἐκ δευτέρου ἐπὶ τέλει ἔρχεται ἐν τῷ αὐτῷ σώματι διὰ τῆς τοῦ πατρὸς
δόξης, καὶ περὶ τῶν γενησομένων ἀγαθῶν καὶ τῆς μελλούσης κρίσεως, καὶ πῶς
ἐν τῷ παρόντι βίῳ διάγειν ἡμᾶς δεῖ ἐν ταῖς ἐντολαῖς κατὰ τὸ θέλημα τοῦ θεοῦ,
$79^2$ πῶς τὴν μετάνοιαν εὑρεῖν, καὶ | δι' αὐτῆς τὴν ἄφεσιν, πῶς ἐξιλεώσασθαι τὰ ἡ-
μαρτημένα, καὶ κατὰ τὸ τοῦ θεοῦ βούλημα φεύγειν τὰ κακά, ποιεῖν τε τὰ ἀγαθά,
189 καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν, καὶ πῶς δεῖ πορεύεσθαι ἐν || ταῖς τοῦ
θεοῦ ὁδοῖς.

**104** ταῦτα διηγήσομαι κατὰ τάξιν ἀκόπῳ τῇ γλώσσῃ καὶ ἀπαύστῳ τῷ στό-
ματι, ἵνα καὶ ὁ κύριος κατὰ τὴν αὐτοῦ φιλανθρωπίαν δεξάμενος τὴν ὑμῶν με-
τάνοιαν καταξιώσῃ ὑμᾶς εἰσελθεῖν εἰς τὴν τῆς φιλανθρωπίας αὐτοῦ χάριν ἐν
Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ὅμως δὲ ἡμεῖς ἀρξάμενοι ἀπ' ἀρχῆς ἀποδείξομεν
τὴν ἀγαθὴν τοῦ κόσμου δημιουργίαν τὴν παρὰ τοῦ ἀγαθοῦ, ἐὰν ὑμεῖς βούλησθε
ἐξ ὅλης καρδίας ἀκοῦσαι καὶ πιστεῦσαι. ἀρχὴν δὲ ποιησόμεθα ἐξηγήσεως πρὸ
πάντων περὶ τοῦ μεγάλου καὶ μόνου ἀγαθοῦ θεοῦ, καὶ λοιπὸν περὶ τῶν γενομέ-
νων πάντων παρ' αὐτοῦ. ταύτην δὲ εἰς τὴν ὑμετέραν διδασκαλίαν καὶ ὠφέλειαν
$80^1$ σπεύδομεν ἐντελέστερον ἐξηγήσασθαι κατὰ τὴν τῆς θεότητος | αὐτοῦ διαταγήν. ἀ-
190 ναγκαῖον οὖν ἡγησάμεθα, καὶ περὶ αὐτοῦ συμμέτρους, ἐπιτηδείους τε καὶ εὐαρμό-
στους λόγους ἐκθέσθαι· περὶ γὰρ θεολογίας τὰ ῥήματα γίνονται. οἴδαμεν γὰρ
ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς θεός. οὐ περὶ τῆς ἀκαταλήπτου φύσεως δυνατόν τι
εἰπεῖν, ἀλλ' ὡς ἔστιν ἐνδεχόμενον διηγήσασθαι. ἀκατάληπτος γὰρ καὶ ἀνείκαστος
καὶ ἀμέτρητος, ἀπερίληπτος, ἀπεριόριστος καὶ ἀνεξέταστος, ἀπροσπέλαστος, ἀπε-
ρινόητός ἐστιν ἀπὸ πάσης κτίσεως. ἀόρατος μὲν ἐστὶν τῇ θέᾳ καὶ πᾶσιν ἐγγύτα-
τος, καὶ τῇ τῶν οἰκτιρμῶν προνοίᾳ καὶ ἐπισκοπῇ καὶ φιλανθρωποτάτῃ χάριτι πάν-
των προνοεῖ, οὐδέποτε θεαθεὶς ὑπὸ τῶν θνητῶν καὶ σαρκοφόρων, ἀλλ' οὐδὲ ἐκ
τῶν πυρίνων λειτουργῶν ἀγγέλων τε καὶ δυνάμεων, μόνον δεδοξασμένος ἐστὶν παρὰ
πάσης κτίσεως.

**105** καὶ πάντα μὲν παρ' αὐτοῦ γέγονεν, αὐτὸς δὲ μόνος ἐστὶν ὁ ὤν. ἄνδρες
$80^2$ δίκαιοι κατηξιώθησαν γνῶναι τὴν αὐτοῦ δημιουργίαν καὶ | προσκυνῆσαι αὐτῷ, ὑ-
191 ποτα||γέντες τῷ θελήματι αὐτοῦ, ἐκλάμψαντες θεοπρεπῶς ἐν τῷ εὐπρεπεστάτῳ βίῳ.
προφῆται δὲ ὠνομάσθησαν ἐν ταῖς ἀρχαίαις γενεαῖς ἀπὸ τοῦ θεοδιδάκτου γένους
τῶν Ἑβραίων καὶ τοῦ σπέρματος Ἀβραάμ, ὅντινα διὰ τὴν ἄγαν θεοσέβειαν ἐκλε-

41 τε B, ται m | 42 δεῖ B, δὴ m | 46 καταξιώσει | 47 ἀποδείξωμεν | 48 βούλησθαι | 53 ἐπιτηδίους | 53/54 ἐυαρμώστους | 56 ὡς B, ὥ mit σ über der Zeile erster Hand m | 56 ἀνήκαστος | 57 ἀπεριώριστος | 59 φιλανθρωπότητα τῇ | 60 θεαθῆς | 66 ὀνομάσθησαν

ξάμενος ὁ θεός, πατέρα πολλῶν ἐθνῶν ὠνόμασεν, ἵνα ὡς πρωτόπιστος εἰς τὴν
ἀρχὴν τῆς πίστεως καὶ τῆς δικαιοσύνης ἀνακαθίσας καυχήσηται, κληθεὶς δικαι-
ότατος πατήρ, οὗ καὶ τὸ σπέρμα λαὸς περιούσιος καὶ πρωτότοκος καὶ γνήσιος ὠ-
νόμασται. ἐν μέσῳ δὲ τούτων οἱ προφῆται ἐκ τοῦ αὐτοῦ γένους ἐξέλαμψαν διὰ
τῶν θεοπρεπῶν λόγων, οἳ κατηξιώθησαν τῆς τοῦ πνεύματος χάριτος πρὸς τὸ δι-
δάξαι πάντας τὸν τῆς θεότητος νόμον. προέθεντο δὲ πᾶσι τὸ θέλημα καὶ τὰς
διαταγὰς αὐτοῦ τὰς εὐθείας, | καθ' ἅπερ αἱ αὐτῶν βίβλοι τῆς προ‖φητείας ἀκρι- 192 $81^{1}$
βῶς δηλοῦσιν, αἳ καὶ εἰς τὴν πάντων ὠφέλειαν πανταχοῦ διεδόθησαν καὶ διέδρα-
μον, καὶ ἔτι δραμοῦνται εἰς τέλος. πεπληρώκασι γὰρ τὰ πέρατα εὐνομωτάτοις ῥή-
μασι, καὶ ὡς ἐνώπιον ἑκάστῳ ἀποδεικνύουσιν ἀναγινώσκοντι τὸ εὔτεχνον τῆς θεϊ-
κῆς προφητείας αὐτῶν λόγιον, ὥστε δοκεῖν θεωρεῖσθαι τοὺς μακαρίους ἐκείνους
κατὰ πρόσωπον. ἐν μέσῳ οὖν τούτων τῶν ἁγίων καὶ θεοσεβῶν χορῶν τῶν προ-
φητῶν ἀναστὰς μέγας προφήτης ᾧ ὄνομα Μωσῆς, ὡς καὶ καταξιωθεὶς τῆς θεϊκῆς
χάριτος, ἤρξατο διδάσκειν πάντας. δεξάμενος γὰρ ὁ μέγας ἐκείνων τῶν προφη-
τῶν παρὰ θεοῦ τὴν ἀληθινὴν γνῶσιν, ἐξηγήσατο τὴν κοσμοποιΐαν.

**106** ἐντεῦθεν οὖν καὶ ἡμεῖς ἀρξόμεθα διὰ τῆς χάριτος τοῦ παντοδιδάκτου
πνεύματος τοὺς λόγους ποιεῖσθαι, ἐκτιθέμενοι ὑμῖν περὶ ἀμφοτέρων τῶν κόσμων,
τῶν παρὰ τοῦ ἀγαθοῦ θεοῦ κτισθέντων, ἕνεκεν ‖ τῆς ἀρχῆς | καὶ τοῦ τέλους τοῦ 193 $81^{2}$
προσκαίρου τούτου, καὶ τοῦ μέλλοντος καὶ αἰωνίου καὶ παραμονίμου. γένοιντο οὖν
ἡμῖν λόγοι ἐν τῷ στόματι εἰς τὸ δεῖξαι ὑμῖν τὴν ὠφέλειαν, ὑμᾶς τε ἀκούσαντας
δέξασθαι καὶ πιστεῦσαι καὶ ἀποχωρισθῆναι τῆς σατανικῆς καὶ πονηρᾶς πράξεως
καὶ τῆς θεϊκῆς γυμνασίας κληρονόμους γενέσθαι. ἀρξόμεθα οὖν διὰ τῆς τοῦ
Χριστοῦ χάριτος διηγήσασθαι ἐφεξῆς ἐν λεπτομερέσι σημειώσεσι. καὶ ὑμεῖς ἐνω-
τιζόμενοι ὁλοθύμως ἀκούσατε. ‖ δεῦτε οὖν, ἀδελφοί, τῆς ὠφελείας γενώμεθα, τὴν **541**
κοινὴν σωτηρίαν ἐν σπουδῇ εἰς ἑαυτοὺς ἐφελκύσαντες, ἵνα ἀφ' ὑμῶν αἱ τιμωρίαι
ἐπαρθῶσιν, καὶ γένηται ἀπὸ τῆς ἐπελθούσης ταραχῆς ἐν τάχει εἰρήνη, καὶ ἐκ τῆς
αἰχμαλωσίας καὶ πλάνης ἐπιστροφὴ σωτηρίας. ἐγὼ δὲ πάντα τὰ προστάγματα τοῦ
θεοῦ ἀκολούθως προέθηκα ὁμοῦ εἰς τὰς ἀκοὰς ὑμῶν ὠφέλειαν, ἀπ' ἀρχῆς ἄχρι
τέλους ἐξηγησάμενος πάντα. ‖ δεῦτε οὖν, πρῶτον συστείλωμεν τὸν θεϊκὸν θησαυ- **542**
ρόν, ἵνα διὰ τοῦτο χαρι|σθῇ ὑμῖν πᾶσιν ἴασις. προσενέγκωμεν δὲ αὐτοὺς εἰς ἀ- $82^{1}$
νάπαυσιν, οἰκοδομήσαντες αὐτοῖς μαρτύριον ναὸν καὶ εὐκτήριον κοινῆς προσευχῆς,
διὰ παντὸς αἰτούμενοι παρὰ τοῦ θεοῦ, πρῶτον μὲν τὴν διαλλαγὴν καὶ εἰρήνην καὶ
τὸ ἔλεος ἐν πίστει καὶ ἀγάπῃ, σὺν τούτοις δὲ ζωὴν καὶ τὴν τοῦ θεοῦ βασιλείαν, ἵνα
καὶ ὑμεῖς ἐλευθερωθέντες ἀπὸ τῆς αὐτοπροαιρέτου δουλείας τῶν σκοτεινῶν ἔργων
τὴν δόξαν τοῦ θεϊκοῦ φωτὸς εὑρεῖν δυνηθῆτε, εὐχαῖς καὶ πρεσβείαις αὐτῶν πρὸς
τὸν θεόν, καὶ οὗτοι ἀναπαύσωσιν τὰς ψυχὰς ὑμῶν ἀπὸ τῶν βασάνων καὶ τῆς ἐ-
πελθούσης ὑμῖν μοχθηρίας.

70 Tit 2, 14

68 ὀνόμασεν | 69 ἀνακαθήσας καυχήσεται | 69/70 δικαιώτατος | 70/71 ὀνόμασται | 76 εὐνομοτάτοις | 80 ὡς B, ὅς m | 83 ἀρξώμεθα | 86 παραμονήμου | 87 ἀκούσαντες | 88 δέξασθε m[1], von erster Hand über der Zeile gebessert | 89 ἀρξώμεθα | 3 ἡμῶν m[1], über der Zeile υ von erster Hand

107 ὅταν δὲ βεβαιωθῆτε πρὸς τὸν θεὸν περὶ τούτων, τότε καὶ ἡ κατοικοῦ-
543 σα αὐτοῖς θεότης οἰκτειρήσει ὑμᾶς ἐν τῇ μετανοίᾳ ὑμῶν καὶ τῇ ἐξομολογή||σει
καὶ ἐν τῇ ταπεινώσει καὶ ὑποταγῇ τῆς πίστεως. δεῖ οὖν τὴν τῶν νηστειῶν ἔχειν
ὑμᾶς κακοπάθειαν, φυτεῦσαί τε ἐν ταῖς καρδίαις ὑμῶν καὶ εἰς τὸν νοῦν παραδεί-
ξασθαι τὸν τοῦ θεοῦ φόβον, καὶ ἀποτινάξασθαι τὰ ἐνθυμήματα τοῦ θελήματος
82[2] ὑμῶν. | ὅπως καταξιωθῆτε τοῦ λουτροῦ τοῦ ἁγίου βαπτίσματος, συμμερισταὶ γε-
νόμενοι τοῦ κλήρου τοῦ φωτὸς τῶν ἁγίων τούτων καὶ τοῦ καυχήματος τοῦ σταυ-
ροῦ, ὅστις τοῖς ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ εὑρεθεῖσιν ὑμῖν σοφία σωτη-
ρίας καὶ δύναμις θεοῦ ἐστίν· ὃς καὶ εἰς υἱοθεσίαν καταξιώσει ὑμᾶς τῆς θεότη-
τος, ἐξαλείφων τὰς ἁμαρτίας ὑμῶν καὶ συγχωρῶν τὰς ἀδικίας ὑμῶν, εἰς τὸ δέ-
ξασθαι τὴν μερίδα τοῦ στεφάνου τῶν ἁγίων τούτων τῶν πρὸς ὑμᾶς ἐλθόντων, ὥ-
στε καὶ ὑμᾶς γενέσθαι προσκυνητὰς τῆς θεότητος αὐτοῦ μετὰ τοῦ θείου χοροῦ
τῶν δοξολογούντων αὐτόν, συμμετόχους γενομένους τῆς εὐλογίας τοῦ ἁγίου πνεύ-
ματος. ὑποδεξάμενοι δὲ τὰ θεϊκὰ μυστήρια, καθαρισθῆναί τε ἀπὸ τοῦ σατανικοῦ ῥύ-
544 που, καταπατηθέντος τοῦ πονηροῦ τοῖς ποσὶν τῆς ὑμῶν θεογνωσίας, ὑμεῖς δὲ εἰ-
83[1] σελθόντες ἀπολαύσετε τοῦ θεϊκοῦ γάμου τῆς εὐφροσύνης εἰς τὸ ἐσθίειν τὸ σῶ|μα
τοῦ ἀληθινοῦ ἀμνοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τῆς δόξης συμμέτοχοι ἔσεσθε, καὶ
γενήσεσθε εἰς ἓν πνεῦμα συνδεδεμένοι ἐν τῷ σώματι καὶ τῷ αἵματι αὐτοῦ. οἱ δὲ
μάρτυρες οὗτοι ἔσονται περὶ ὑμᾶς τῷ τοῦ θεοῦ ἐλέει τεῖχος ἰσχυρότατον καὶ πύρ-
γος ἀκαταμάχητος καὶ ἐπιστάται καὶ πρεσβευταί, οἳ καὶ ἀνδρείως τὸ αἷμα αὐ-
τῶν ἐξεκένωσαν ἐν τοῖς ἰδίοις ἀγῶσιν, ἵνα νῦν ὑμᾶς λαβόντες τῷ θεῷ προσενέγ-
κωσιν. ἐκέρδησαν γὰρ ὑμᾶς, τὰ ἴδια παλαίσματα ἀποδείξαντες, καὶ τὰ νικητήρια
τῇ τοῦ θεοῦ δυνάμει ἀπενεγκάμενοι.

108 νῦν οὖν πρὸς ἑσπέραν ἐστίν· ὑπάγετε εἰς ἀνάπαυσιν, καὶ ἐν εἰρήνῃ ὑ-
πνώσατε. ἀπὸ δὲ τῆς αὔριον σπουδὴ γένηται οἰκοδομῆσαι τὰς σκηνὰς τῆς τούτων
545 καταπαύσεως, ἵνα καὶ || αὐτοὶ ἀντὶ τῆς γηΐνης σκηνῆς ἣν ὑμεῖς αὐτοὶ οἰκοδομεῖτε
ἐνθάδε, ἑτοιμάσωσιν ὑμῖν φωτεινὰς σκηνὰς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἧς προ-
83[2] σδοκοῦμεν ἐπιτυχεῖν ταῖς τούτων πρεσβείαις, ἐ|πὶ τὸ αὐτὸ συναγόμενοι ἐν τῇ βα-
σιλείᾳ τοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. ἀμήν. καὶ τοῦτο εἰπὼν ἀπέλυσε τὸν ὄχλον. ὁ δὲ βασιλεὺς καὶ οἱ
μεγιστᾶνες αὐτοῦ οὐδέποτε ἠδύναντο χωρισθῆναι αὐτοῦ· πεπληγμένοι γὰρ ἦσαν
καὶ πεφοβερισμένοι. νυκτὸς οὖν καὶ ἡμέρας ἡ καταμονὴ αὐτῶν ἦν ἐν τῷ ἀμπε-
λῶνι πρὸς τῇ θύρᾳ τῆς ληνοῦ. ἦσαν δὲ ἐνδεδυμένοι σάκκους καὶ ἐν σποδῷ καθή-
μενοι, νηστεύοντες δὲ ἐπὶ ἡμέρας ἑξήκοντα πέντε. λαλῶν καὶ παιδεύων καὶ διδά-
546 σκων αὐτοὺς καὶ || διαβεβαιῶν ὡς σοφὸς ἰατρός, σπουδάζων εὑρεῖν τὸ τῆς σωτη-

12 Corinth α 1, 23 24 | 33 Petr α 5, 11

5 ὅταν bis τούτων zieht B zum Paragraphen 106 | 12 ὅστις B, εἴτις m | 12/13 σ̄ριος m[1], erster Hand σ̄ριας m[2] | 15 anderes τῶν unterm Schreiben aus τοῦν gemacht | 15 wirklich Masculinum ἐλθόντων | 20 ἀπολαύσητε | 28 ὑπάγεται m[1], von erster Hand ε über der Zeile zu αι | 32 συναγώμενοι | 36 φεβερισμένοι m[1], φοβερισμένοι m[2], was (wie ein Strichlein ältester Dinte lehrt) von erster Hand herrührt | 37 ἐν σποδῷ L, σποδοῦ m

ρίας αὐτῶν φάρμακον, ὅπως αὐτοὶ πρῶτοι προσενέγκωσιν αὐτῷ τὰς ψυχὰς αὐτῶν
ὡς οἱ ἀσθενοῦντες, καὶ αὐτὸς ὡς εὔσπλαγχνος ἰατρὸς ἰάσηται ἐν τῷ εὐαγγελίῳ
τοῦ Χριστοῦ, συνεβίβαζεν αὐτούς, ὥστε πάντα ἀκριβῶς ἐγνωκέναι, οὐκ ἀκρο-
τη|ριάζων οὐδὲ ἀεροβατῶν ἐν τοῖς λόγοις, ἀλλ' ἄνωθεν ἀπὸ τῆς ἀρχῆς τῆς κο- 84[1]
σμοποιΐας μέχρι τῶν θεοφόρων ἁγίων καὶ θεολόγων διηγησάμενος, καὶ τὰς πρά-
ξεις ἑκάστου τῆς ἀρετῆς ἐκτιθέμενος, τῶν πνευματικῶν ἐκφωνήσεων γνωστικοὺς
αὐτοὺς κατέστησεν, καὶ τοὺς θεοφιλεῖς ἄνδρας μετὰ τῆς ἀληθινῆς παραδόσεως
τοῦ Χριστοῦ καὶ τὸν βίον αὐτῶν καὶ τοὺς πνευματικοὺς πόνους ἑνὸς ἑκάστου μετὰ **547**
ἀποδείξεων ὀνομαστὶ ἐγνώρισεν αὐτοῖς τὰ ῥήματα αὐτῶν. τὰ παρὰ τοῦ θεοῦ ῥη-
θέντα διὰ τοῦ ἁγίου πνεύματος παρέθηκεν καὶ τὴν ἑρμηνείαν συνέταξεν ἐν δυνά-
μει τῶν λόγων αὐτῶν.

**109** αὐτοὶ δὲ συναγόμενοι καὶ συναθροιζόμενοι ἐν ἀπείρῳ πλήθει ἀνθρώ-
πων ἀλλήλους προσελάμβανον, εἰς τὴν ἀκρόασιν τῆς διδασκαλίας τὰς ἀκοὰς προ-
σφέροντες. ὄχλοι δὲ αναρίθμητοι εἰς τὴν φήμην ἤρχοντο, θεωρῆσαι ἅμα καὶ ἀ-
κοῦσαι τὰ ἀνεκδιήγητα θαύματα τοῦ θεοῦ, καὶ λαοὶ πολλοὶ ἀνδρῶν τε | καὶ γυ- 84[2]
ναικῶν σὺν τοῖς παιδίοις ἀπὸ διαφόρων πατρίδων ὁρμούμενοι. ἔπεσε γὰρ καὶ ὁ
φόβος τοῦ πάντων δημιουργοῦ ἐπὶ πάντας, καὶ ὑπετάγησαν καὶ ἐδέξαντο τὴν πί-
στιν μετὰ πολλῆς σπουδῆς. ἐθεώρουν γὰρ τὰ θαυμάσια, καὶ γνησίως ἐπείθοντο τῇ
ψυχωφελεῖ νουθεσίᾳ καὶ φωτοφόρῳ κηρύγματι καὶ ζωοποιῷ καὶ ζωηφόρῳ ἐπαγ- **548**
γελίᾳ τοῦ εὐαγγελίου, πάντα καταδεξάμενοι. ὁ βασιλεὺς δὲ σὺν τοῖς ἄρχουσιν ἐν
σπουδῇ ποιεῖν τὰ παρ' αὐτοῦ προστεταγμένα ἠπείγετο. πληρωθέντων δὲ τῶν ἑξήκον-
τα ἡμερῶν, ὄρθρου ταχέως προσελθόντες οἱ μεγιστᾶνες καὶ ἄρχοντες σὺν τῷ βασι-
λεῖ καὶ τῷ λοιπῷ ὄχλῳ, μετὰ γυναικῶν καὶ παιδίων θηλαζόντων, φρατρίαι διά-
φοροι, προσπεσόντες τῷ ἁγίῳ Γρηγορίῳ, ἐζήτουν ἴασιν εὑρεῖν τῶν βασάνων. πλη-
γέντες γὰρ ἦσαν τῇ τῆς ὀργῆς ῥάβδῳ τοῦ δικαιοτάτου κριτοῦ, μάλιστα δὲ ὁ βα-
σιλεύς, ἀλλαγεὶς ἐν μορφῇ κοπρορύκτων χοίρων, δεδασυμμένου ὅλου ‖ τοῦ σώ- **549** 85[1]
ματος αὐτοῦ, καὶ ἐν τοῖς μέλεσιν αὐτοῦ ἀναφυεισῶν τριχῶν ὡς καὶ τῶν μεγάλων
συάγρων τῶν ἐν τοῖς καλαμῶσιν βοσκομένων. καὶ οἱ ὄνυχες δὲ τῶν χειρῶν καὶ
τῶν ποδῶν ἦσαν ὡς τῶν γεωρύκτων χοίρων, καὶ τὸ στόμα — ἡ ὄψις ἀλλοιωθεῖσα
ἐν σχήματι χοίρου.

**110** δικαίαν γὰρ ἐπιτιμίαν παρὰ τοῦ δικαίου κριτοῦ θεοῦ δεξάμενος διὰ τὸ ἄγριον αὐτοῦ καὶ ἀνήμερον ἦθος, ἐκπεσὼν τῆς βασιλείας, μετὰ τῶν θηρίων ἐν τῷ ἀγρῷ ἐβόσκετο. παρεσυνεβλήθη γὰρ τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς κατὰ τὸ γεγραμμένον, κεχωρισμένος ἐκ μέσου τῶν ἀνθρώπων. ὅτε οὖν ἐξῆλθεν ὁ ὁμολογητὴς ἐκ τῆς φυλακῆς καὶ μάρτυς τοῦ Χριστοῦ Γρηγόριος, ἔ-

43 vergleiche hierzu Coloss 2, 18 | 72 Psalm μη 13

42 nach Χριστοῦ der Codex wohl Punkt (ich merkte leider nichts an), nach συνεβίβαζεν + δὲ m | 46 παραδώσεωσ | 52 προελάμβανον | 53 θεορῆσαι | 55 ὡρμούμενοι | 57 ἐθεόρουν | 57 ἐπίθοντο | 58 ψυχοφελεῖ | 62 φατρίαι | 64 δικαιωτάτου | 66/67 συ▲άγρων: über dem α ein Punkt, der auf einen Fehler hinweist | 68 γεορύκτων | 70 κρίτοῦ mit zwei Accenten: wünschte er δικαιοκρίτου zu haben? | 71 m Komma nach ἦθος | 72 ὁμοιώθει m, erster Hand η über ει | 73 τότε

85[2] φθασεν εἰς τὸν τόπον τῶν μαρτυρησάντων ἀπὸ | τῆς τοῦ θεοῦ οἰκονομίας, καὶ
550 συνήχθησαν πάντες, εἰς ἀπαντὴν ἐρχόμενοι δαιμονιῶντες, καὶ ὁ βασι||λεὺς σὺν αὐτοῖς. καὶ ὡς σύαγρος μεγάλῃ τῇ φωνῇ ἔκραζεν, βρύζων καὶ ἀφροῦ πληρῶν τὴν ἑαυτοῦ ὄψιν, ἐν ὁμοιώματι τετραπόδων τρέχων ἀπὸ τῶν καλάμων, καὶ ἔφθασεν εἰς τὸν τόπον ἐκεῖνον. ὁ δὲ ἅγιος Γρηγόριος εὐξάμενος ἐζήτει παρὰ τοῦ παντοδωροδότου θεοῦ, ἵνα πρὸς ὥραν οὐ τὴν ὑγείαν τῆς ὄψεως ἀπολάβοι, ἀλλ' ἵνα τὴν ἀκρόασιν καὶ τὴν ἔννοιαν ὡς τὴν διδασκαλίαν νηφαλέως ἔχοι, ὥστε νοῆσαι τὰ λεγόμενα τῶν λεγομένων λογίων τοῦ θεοῦ, τοσοῦτον μόνον τὴν ἴασιν γενέσθαι αὐτῷ, ὥστε ἀκούειν καὶ λαλεῖν καὶ νοεῖν ἀνεμποδίστως. τετυχηκὼς δὲ ταύτης ὁ βασιλεὺς τῆς ἰάσεως, τὰς ἑξήκοντα ἓξ ἡμέρας τῆς αὐτοῦ διδασκαλίας ἔμεινεν ἐν τῇ αὐτῇ μορφῇ, περιδεδεμένος καὶ περικεκαλυμμένος ἐν μέσῳ τῶν συνηγμένων ἀνθρώπων.

86[1] 551 **111** πάν|τες δὲ κυλιόμενοι καὶ κλαίοντες ἐζήτουν ἴασιν ἑαυτοῖς τε καὶ τῷ βασιλεῖ. εἶπεν δὲ πρὸς αὐτοὺς μετὰ τὴν παράκλησιν ὁ ἅγιος Κἀγὼ μεθ' ὑμῶν ὡς εἷς ἐξ ὑμῶν ζητήσω τὴν ὠφέλειαν, καὶ ὑμεῖς εὐθύμως ζητήσατε τὴν ὑμετέραν ἴασιν, καὶ ὁ φιλάνθρωπος θεὸς ἐλεήσει ὑμᾶς. σπεύσατε δὲ οἰκοδομῆσαι τὰ μαρτύρια καὶ ἀναπαῦσαι τοὺς τοῦ Χριστοῦ μάρτυρας, καὶ αὐτοὶ ἀναπαύσουσιν ὑμᾶς ἀπὸ τῶν βασάνων καὶ τῆς ἐπελθούσης τιμωρίας. σώθητε δὲ καὶ ἀπὸ τῶν φοβερῶν καὶ πικρῶν καὶ ἡτοιμασμένων κολάσεων καὶ τῶν μελλουσῶν καὶ ἐπηγγελμένων κρίσεων. καὶ καταξιώθητε τῆς τοῦ Χριστοῦ βασιλείας. τῶν δὲ ἐν σπουδῇ ζητούντων καθ' ὡς βούλεται, προσέταξεν αὐτοῖς ποιεῖν. καὶ αὐτός τι
552 ὅραμα διηγούμενος αὐτοῖς ἔλεγεν. || δεῦτε (φησίν), ἀδελφοί, διηγήσομαι ὑμῖν τὴν
86[2] κη|δεμονίαν τῆς τοῦ δημιουργοῦ ἀγάπης τὴν πρὸς ὑμᾶς οὖσαν, ἥτις ἀπεκαλύφθη μοι φοβερᾷ καὶ θεϊκῇ θεωρίᾳ, δηλοῦσα τὴν αὐτοῦ συγκατάβασιν τὴν πρὸς τοὺς ἁγίους αὐτοῦ μάρτυρας καὶ τὴν ἀσύγκριτον τούτων τιμὴν τὴν εἰς τὸ ἄμετρον ὕψος ἀρθεῖσαν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ καὶ τὴν ὑμῖν μέλλουσαν χαρισθῆναι ζωηφόρον ἐπίσκεψιν.

**112** ἐφάνη οὖν μοι λίαν θαυμαστὸν καὶ θεϊκὸν καὶ ἀνεκδιήγητον ὅραμα, οὗ ἐκ μέρους ἔλαβον τὴν κατανόησιν. ἐν τῷ μεσονυκτίῳ οὖν τούτῳ, ὡς ὑμεῖς κεκμηκότες ἀνεπαύεσθε ἀπὸ τοῦ βάρους τῆς ἀγρυπνίας, ἐγὼ ἐγρηγόρουν ἔτι, ἐνθυμούμενος καθ' ἑαυτὸν ἕνεκεν τῶν ἐξαίφνης θαυμασίων καὶ ἐπισκέψεων καὶ
87[1] ἐλέους τοῦ θεοῦ πρὸς ὑμᾶς, διὰ τὸ ἐμβαλεῖν αὐτὸν ὑμᾶς ἐν τῷ χωνευτη|ρίῳ τῆς
553 θεϊκῆς γνώσεως καὶ τῆς διδασκαλικῆς παιδεύσεως. ἐλογιζόμην δὲ καὶ τὴν τῶν μαρτύρων ἀγάπην τὴν πρὸς τὸν αὐτῶν ποιητὴν καὶ τὰς ἑτοιμασθείσας αὐτοῖς ἀμοιβάς, ἄρα ὁποῖαι νῦν ὑπάρχουσιν. ὡς δὲ ἐν τούτοις ἤμην, ἄφνω ἐγένετο φωνὴ σφοδροτάτης βροντῆς, καὶ φοβερὸς κτύπος ὡς φωνὴ θαλάσσης βραζούσης, τῶν κυμάτων οἰδαινόντων καὶ τεταραγμένων. καὶ διηνοίχθη τὸ σκηνοειδὲς στερέωμα τοῦ οὐρανοῦ, καὶ κατελθὼν ἄνθρωπος εἷς ἐν σχήματι φωτός, ἐκάλεσε τὸ ὄνομά μου καὶ εἶπεν Γρηγόριε. ἐγὼ δὲ ἀτενίσας εἶδον τὴν μορφὴν αὐτοῦ. ἔμφοβος δὲ

75 τόπων $m^1$, zurechtradiert | 80 παντοδωρότου | 80 ὑγίαν | 81 ἔχειν | 83 τετυχικώσ | 91 ἀναπαύσωσιν | 92 σωθῆτε | 93 ἑτοιμασμένων | 94 καταξιωθῆτε | 4 ἀναπαύεσθαι | 10 σφοδρωτάτησ | 11 οἰδενόντων | 13 ἴδον

γενόμενος καὶ τρομάσας, εἰς τὴν γῆν ἔπεσον. καὶ εἶπέν μοι Πρόσεχε ἄνω καὶ
ἴδε τὰ θαυμάσια ἃ ἐγώ σοι δείξω. καὶ ἀναβλέψας ἐθεασάμην τὸ στερέωμα τοῦ
οὐρανοῦ | καὶ τὰ ὕδατα τὰ ὑπεράνω τοῦ στερεώματος διασχισθέντα καθ᾽ ὁμοίωσιν 87[2]
τῶν φαράγγων ὡς ‖ τοὺς λόφους τῶν ὀρέων, ὧδε καὶ ὧδε διαμεμερισμένα, ἑστη- 554
κότα καὶ συντεθειμένα, ἀνείκαστα καὶ ἀκατάληπτα τῆς τῶν ὀφθαλμῶν θεωρίας.
καὶ τὸ φῶς εἶδον ῥέον ἄνωθεν καὶ μέχρι τῆς γῆς κατιόν. καὶ μετὰ τοῦ φωτὸς
στρατιαὶ ἄμετροι, φωτοειδεῖς, δίπτεροι, ἐν ὁράσει ἀνθρώπων. ἦσαν δὲ αἱ πτέρυγες
αὐτῶν πῦρ. κατήεισαν δὲ καθ᾽ ὁμοίωσιν λεπτοτάτου κονιορτοῦ, κινουμένου ὑπὸ
τῆς θερμοτάτης ἀκτῖνος τοῦ ἡλίου, ὅταν διὰ θυρίδων καὶ φωτοφόρων τρωγλῶν
εἰσβάλλει. οὕτως αἱ στρατιαὶ μετὰ τοῦ φωτὸς ἐπλήρωσαν τὰ κάτω μέρη. καὶ
προέτρεχε τὸ φῶς σὺν τῇ στρατιᾷ. καὶ εἷς φοβερὸς ἐν ὁράσει ἀνθρώπου, ὑψη-
λὸς καὶ ἔνδοξος, ἐκράτει τὴν ἀρχὴν καὶ τὸ τέλος τῆς στρατιᾶς, | καὶ προῆγεν 88[1]
ἕως κάτω. καὶ τὰς ἄμφω ἀρχὰς ἐφύλαττεν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σφύρα μεγάλη
χρυσῆ. καὶ πάντες ἠκολούθουν αὐτῷ. αὐτὸς δὲ πετόμενος ὀξέως ‖ κατὰ τὴν ὀξύ- 555
τητα τοῦ ἀετοῦ, κατελθὼν ἔφθασε τὸ ἔδαφος τῆς γῆς εἰς τὸ μέσον τῆς πόλεως,
καὶ ἐπάταξε τὸ πάχος τοῦ πλάτους τῆς γῆς. μέγας δὲ καὶ ἄμετρος κτύπος ἤχη-
σεν ἐν τοῖς καταχθονίοις τῶν ἀβύσσων, καὶ πᾶσα ἡ γῆ ἐν βλέμματι ὀφθαλμῶν
ἱκανῶς ὁμαλισθεῖσα ἐξισώθη, καὶ πεδίον γέγονε.

**113** καὶ θεωρῶ ἐν μέσῳ τῆς πόλεως ἐγγὺς τοῦ παλατίου τοῦ βασιλέως
τετορνευμένην βάσιν χρυσῆν, τῷ μεγέθει ὡς βουνὸν μέγαν, καὶ ἐπάνω αὐτῆς στύ-
λον πυρὸς ὑψηλὸν σφόδρα, καὶ ἐπάνω αὐτοῦ κεφαλίδα ἐκ νέφους καὶ σταυρὸν
φωτός. ἔτι δὲ θεωρῶ ἄλλας τρεῖς βάσεις, μίαν ἐν τῷ τόπῳ ᾧ ἐμαρτύρησεν ἡ
ἁγία Γαιανὴ | μετὰ τῶν δύο ἑταίρων αὐτῆς, καὶ μίαν ἐν τῷ τόπῳ ᾧ ἐμαρτύρη- 88[2]
σεν ἡ ἁγία Ῥιψίμη μετὰ τῶν τριάκοντα τριῶν, ‖ καὶ μίαν ἐν τῷ τόπῳ τῆς ληνοῦ. 556
αἱ δὲ βάσεις ἐκεῖναι ἦσαν πυρροειδεῖς, καὶ στύλοι ἐπέκειντο ἐκ νεφέλης, καὶ αἱ
κεφαλίδες ἐκ πυρός, καὶ ἐπάνω τῶν τριῶν στύλων σταυροὶ τρεῖς φωτοειδέστατοι
καθ᾽ ὁμοίωσιν τοῦ δεσποτικοῦ σταυροῦ. καὶ τῶν στύλων τούτων οἱ σταυροὶ ἴσοι
ἦσαν, τῆς δὲ φωτοειδοῦς κεφαλίδος ὁ στύλος ὑψηλότερος ὑπῆρχεν. καὶ τοῖς τέσ-
σαρσι στύλοις ἐπάνω τῶν σταυρῶν καμάραι θαυματοειδεῖς, ἴσαι ἀλλήλαις, συνε-
πάγησαν. τούτων δὲ ἐπάνωθεν κυκλοφερὲς ἡμίσφαιρον σχῆμα ὡς σκηνὴν ἐθεώ-
ρουν, νεφοφανῆ καὶ θεοκτίστην οἰκοδομὴν ἔχουσαν, ὑποκάτω δὲ τῆς σκηνῆς ἐπάνω
τῶν καμαρῶν τοὺς τριάκοντα ἁγίους μάρτυρας τοῦ Χριστοῦ | ὡς ἐν σχήματι λευ- 89[1]
κοτάτου φωτὸς μετὰ τῶν ἐνδυμάτων, περὶ ὧν οὐ δύναμαι διηγήσασθαι. ἐπάνω
δὲ τοῦ ἄκρου τῆς οἰκοδομῆς ἐθεώρουν θρόνον θαυμαστόν, θεόπλαστον, φοβερόν,
πύρινον, καὶ τὸν δεσποτικὸν σταυρὸν ἐπάνω αὐτοῦ, φῶς δὲ τούτῳ περιερ‖χόμενον, 557
συμμιγὲς εἰς τὰς ἀκτῖνας τοῦ σταυροῦ καὶ συμπεπηγὸς ἐπὶ τὸ αὐτό. καὶ στύλον
φωτὸς ἐργασάμενον ἔλαμψε μέχρις ἄνω.

24 Daniel 7, 13

17 διαμερισμένα | 18 συντεθιμένα ἀνίκαστα | 19 ἴδον m[r] pr m | 20 m nach δίπτεροι kein Komma | 21 κατίεσαν | 22 τρωγλῶν L, ςρογλῶν m | 32 θεορῶ | 35 θεορῶι | 36 ἑτέρων | 37 ῥιψήμη | 37 λινδυ | 38 πυρροειδεῖς m: richtig nach 59, 94 und ℵ 556, 2 | 42 θαυμαστοειδεῖς m ex silentio | 42 ἶσα | 43 ἡμίσφερον | 43/44 ἐθεόρουν | 44 wirklich ἔχουσαν | 45 καμάρων | 45 ὡς B, οὓς m | 47 ἐθεόρουν

**114** ἐκ μέσου δὲ τῶν βάσεων τῶν κατωτέρων στύλων ἐξέρρευσε πηγὴ σφο-
δροτάτου ὕδατος, καὶ ἐκχυθεῖσα ἡπλώθη ἐν πάσαις ταῖς πεδιάσι, καὶ ἐπλήρωσε
τὰ σύμπαντα ἄχρι τῆς τῶν ὀφθαλμῶν καταλήψεως, καὶ ἐγένετο θάλασσα μεγά-
λη. οὐρανοειδῆ δὲ καὶ χλωρίζοντα ἐφάνη ὁμοῦ πάντα τὰ πεδία. καὶ εἶδον πλῆ-
θος πυρίνων θυσιαστηρίων ἄμετρον, καὶ σταυρὸν ἕνα ἐπάνω ἑνὸς ἑκάστου θυσια-
στηρίου. ἔλαμπον δὲ ὡς τὸ πλῆθος τῶν ἄστρων. καὶ εἶδον ἀγέλην ἀναρίθμητον
89[2] αἰγῶν ἐν χρώματι μέλανι, ἥτις περάσασα τὰ ὕδατα πρόβατα ἐγένετο, | ὡς καὶ
τὴν χρόαν στραφῆναι αὐτῶν εἰς λευκότητα. χρυσόμαλλα δὲ καὶ φωτοειδέστατα
558 ἐφ᾽ ἅπαξ ἐγένοντο, ὥστε καὶ ἀκτῖνας ἐκπέμπειν αὐτά. ‖ ἔτι δὲ προσέχοντός μου,
ἐξαίφνης γέννησις τῶν ποιμνίων ἐγένετο, καὶ ἐπληθύνθησαν, καὶ τὰ γεννήματα
αὐτῶν ἐπλήρωσε τὰ σύμπαντα, καὶ τὰ γεννηθέντα ἀρνία πάντα φωτόμαλλα ὑπῆρ-
χον. μετὰ δὲ ταῦτα ἄλλα γεννήματα προσετέθησαν, καὶ ἐξ αὐτῶν τινά, εἰσελ-
θόντα εἰς τὰ ὕδατα, ἐπέρασαν, καὶ τὰ ἀρνία λύκοι ἐγένοντο μέλανες, καὶ ὁρμή-
σαντες ἐν μέσῳ τῶν ποιμνίων, ἤρξαντο σφάζειν, καὶ πλῆθος αἵματος ἐξεχύθη.
καὶ ὡς ἔτι ἐθεώρουν, ἀνεφύησαν πτέρυγες τοῖς ποιμνίοις, καὶ ἐγένοντο πτερωτά,
καὶ πετασθέντα ἀνελήφθησαν εἰς τὰς στρατιὰς τοῦ φωτός. καὶ ἀνέστη κατα-
κλυσμὸς πυρός, καὶ σύρας ἀπώλεσε τοὺς λύκους. ἐγὼ δὲ ἀτενίζων ἐθαύμασα.

**115** ὁ δὲ ἄνθρωπος ὁ ἐν πρώτοις καλέσας με καὶ δείξας μοι εἶπέν μοι
90[1] Ἄνθρωπε, τί ἕστηκας ἐκπληττόμενος, | καὶ οὐ κατανοεῖς τὰ μεγαλεῖα τοῦ θεοῦ;
καὶ εἶπον Πῶς, δέσποτα; λέγει αὐτός· Τοῦτο τὸ ὅραμα ὤφθη σοι, ἵνα συνήσῃς.
559 ἤνοικται γὰρ ‖ ὁ οὐρανός. γνῶθι ὅτι ἠνοίγησαν αἱ θύραι τῆς φιλανθρωπίας τοῦ
Χριστοῦ πρὸς τὰ αὐτοῦ πλάσματα. καὶ τῇ φωνῇ τοῦ φθόγγου τῆς βροντῆς μάθε
τὴν ἔλευσιν τῆς βροχῆς τοῦ ἐλέους καὶ τῆς γνώσεως τοῦ θεοῦ. ἠνοίχθησαν αἱ
θύραι τοῦ οὐρανοῦ καὶ τὰ ὕδατα ὑπεράνω αὐτῶν διεμερίσθη, ἵνα μηκέτι γένηται
ἐμπόδιον ἀναβῆναι ἄνω ἀπὸ τῶν ἀνθρώπων τῆς χώρας ταύτης. οἱ γὰρ ἅγιοι
μάρτυρες οὗτοι οἱ ἐνταῦθα μαρτυρήσαντες εἰργάσαντο ὁδὸν καὶ ἐν τοῖς βορεινοῖς
μέρεσιν· αὐτοὶ γὰρ ἀνῆλθον, καὶ τοῖς ἄλλοις πορείαν ἐποίησαν. ἰδοὺ δὴ καὶ τὸ
φῶς τὸ πληρῶσαν τὰ σύμπαντα τὸ κήρυγμα τοῦ εὐαγγελίου ἐστίν, ὃ καὶ τὰ μέρη
τοῦ βορρᾶ πληροῖ. καὶ αἱ στρατιαὶ τοῦ φωτὸς ἐπεπόθησαν κατελθεῖν εἰς ὀσμὴν
εὐωδίας τοῦ ἀνθοειδοῦς καὶ ῥοδοχρώτου αἵματος τῶν μαρτύρων. ἀπὸ τοῦ νῦν
90[2] οὖν συμμιγήσεται εἰς κατοίκησιν | μετὰ τῶν ἀνθρώπων τὸ πλῆθος τῶν ἀγγέλων.
560 ὁ δὲ ἄνθρωπος ὁ φοβερὸς καὶ ἔνδοξος ὁ τὴν ἀρχὴν ἔχων τοῦ φωτὸς καὶ ‖ σφύραν
χρυσῆν ἐν τῇ χειρὶ αὐτοῦ ὁ πατάξας τὸ πάχος τῆς γῆς· τὸ δὲ ἦχος ἡ ὑποταγὴ
τῆς δουλείας τῆς γῆς ἐστὶ βοώσης.

**116** ὁ δὲ στύλος τοῦ πυρὸς καὶ ἡ βάσις ἡ χρυσῆ καὶ ἡ κεφαλὶς ἡ ἐκ νέ-
φους καὶ ὁ σταυρὸς ὁ τοῦ φωτὸς ὁ ἐπάνω αὐτῆς, ἡ βάσις ἡ χρυσῆ πέτρα στε-

51 κατοτέρων | 51 ἐξέρευσε | 51/52 σφοδρωτάτου | 54 χλορίζοντα | 54 ἴδον | 56 ἴδον | 57 μελανῶ | 59 προσέχοντοσ, wo am Ende ο halb, σ ganz auf Rasur: dies σ war einst ε, und als solches mit dem folgenden Worte zusammengeschrieben: zuerst stand wohl προσέσχοντο εμου da | 63 μελανοὶ | 65 ἐθεόρουν | 70 συνήσεισ | 75 α von ταύτησ unterm Schreiben aus η | 76 ἠργάσαντο | 76 ἐν B, > m | 76 βορινοῖσ | 77 πορίαν m[1]: der auf den (jetzt korrigierten) Fehler aufmerksam machende Punkt ist noch sichtbar | 78 σύμπαντα σύμπαντα m[1]

ρεώσεως καὶ ἀκινησίας ἐστίν. ὁ δὲ στύλος τοῦ πυρὸς ἡ καθολικὴ ἐκκλησία,
συνάγουσα πάντας τοὺς λαοὺς εἰς ἑνότητα τῆς πίστεως ὑποκάτω τῶν πτερύγων
αὐτῆς. καὶ ἡ κεφαλὴ ἡ ἐκ νέφους ὑποδοχὴ τῶν δικαίων, ὅταν πετασθῶσιν ἐν
τῇ τοῦ κυρίου παρουσίᾳ εἰς τὴν ἀπαντὴν ἀναληφθέντες. ὁ δὲ σταυρὸς τοῦ φω-
τὸς ὁ ἐπάνω αὐτῆς ἱερωσύνη ἐστὶν ἐν μέσῳ τῶν λαῶν, τύπον ἔχουσα τῆς τοῦ
Χρι||στοῦ εἰκόνος, σεσαρκωμένου ἀρχιερέως, καὶ τῆς θεότητος αὐτοῦ ὁμοίωμα. **561**
αὐτὸς γὰρ καὶ τόπος γίνεται τοῦ ναοῦ τοῦ θεοῦ καὶ οἶκος προσευχῆς καὶ δεή-
σεως πάντων τῶν πιστῶν καὶ θρόνος | ἱερωσύνης. καὶ αἱ βάσεις αἱ πυρραὶ ὑπάρ- 91¹
χουσαι ἕνεκε τῶν παθημάτων καὶ τῶν ἐπενεχθεισῶν θλίψεων καὶ τοῦ θανάτου
τῆς ὑπομονῆς. τὸν θάνατον γὰρ αὐτῶν ἐποίησας βάσεις ἀληθινῆς καὶ βεβαίας
πίστεως ἐν τῷ αἵματι αὐτῶν. καὶ οἱ ἐκ τῆς νεφέλης στύλοι, ἐπειδὴ ἡ νεφέλη
ἔχει τὴν κουφότητα καὶ τὴν ὀξύτητα, τύπον ἔχει τῆς ἀναστάσεως καὶ τῆς ἀνα-
λήψεως εἰς οὐρανόν. ἡ κεφαλὴ δὲ ἡ πυρίνη, ὅτι ἡ κατοίκησις αὐτῶν γίνεται ἐν
τῷ πυρὶ τῆς θεότητος καὶ τῷ φωτί. καὶ οἱ στύλοι ἔχουσιν τὸν τύπον τῶν πα-
θημάτων τῶν μαρτύρων, ἀφομοιωθέντων τοῖς τοῦ κυρίου παθήμασι καὶ ἀποθα-
νόντων ὑπὲρ αὐτοῦ. ἐν τῷ θεῷ γὰρ ζῶσι, καὶ σὺν Χριστῷ ἐσταυρώθησαν. ζ||ῇ **562**
οὖν Χριστὸς ἐν τοῖς ὀστέοις αὐτῶν, καὶ δείκνυσι πᾶσι τὴν ζωὴν αὐτῶν, ἐπειδήπερ
οὗτοι ἐφανέρωσαν τὴν ὀσμὴν τῆς εὐωδίας αὐτοῦ καὶ τῆς γνώσεως ἐν ἑαυτοῖς.
αὐτὸς δὲ διαφημίσει τὴν αὐτῶν εἰς τὰ πέρατα.

**117** ἀπέκτειναν γὰρ τῇ ὑπομονῇ τὰ ἐπίγεια σώματα, καὶ ἐκρέμασαν ἐπὶ
σταυροῦ, | συμπαθήσαντες τῷ πάθει τοῦ ἑαυτῶν δεσπότου, ἵνα καὶ τῆς δόξης 91²
καὶ τῆς δυνάμεως γένωνται κοινωνοί. ὁ πρῶτος σταυρὸς ἔχει τὸν τύπον τοῦ καυ-
χήματος καὶ τῆς ἱερατικῆς τιμῆς τῶν πεποιθότων ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ.
οἱ δὲ τρεῖς τῶν ἁγίων μαρτύρων ἀνάπαυσιν, ὅτι ἐν τῷ τόπῳ τοῦ στεφάνου αὐτῶν
καὶ τῆς ἐκχύσεως τοῦ αἵματος οἰκοδομηθήσονται τὰ μαρτύρια τῶν λειψάνων αὐ-
τῶν. ὁ δὲ ὑψηλότατός ἐστιν ὁ στύλος ὁ πρῶτος, ὅτι μεγάλη καὶ ὑψηλή ἐστιν
ἡ καθολικὴ ἐκκλησία ὑπὲρ πᾶν τὸ ὕψος τῶν ἁγίων. αἱ δὲ καμάραι αἱ ἐν ἀλ-
λήλαις συναφθεῖσαι αὐ||τή ἐστιν ἡ κοινωνία τῆς ἑνώσεως τῆς καθολικῆς ἐκκλησίας. **563**
ἡ δὲ σκηνὴ ἡ ἐπάνω ἔχει τὸν τύπον τῆς ἄνω πόλεως καὶ τῆς ὁμονοούσης συνα-
γωγῆς τῶν οὐρανῶν βασιλείας. ὅτι δὲ θεωρεῖς τοὺς μάρτυρας οὕτως, γνῶθι ὅτι
τὸν μὲν θάνατον πρόσκαιρον ἐδέξαντο, τὴν δὲ ζωὴν αἰώνιον ἔχουσιν, ἐν τῇ δόξῃ
τοῦ υἱοῦ τοῦ θεοῦ δεδοξασμένοι· διὰ τοῦτο καὶ τὸν τύπον τοῦ σταυροῦ | τετύπων- 92¹
ται ἐν ἑαυτοῖς. ἐπάνω δὲ τοῦ ἄκρου τῆς οἰκοδομῆς θεωρεῖς. οὗτος ὁ θρόνος
τῆς παντοδυνάμου φύσεως τῆς θεότητος καὶ τοῦ αὐτοῦ τέλους ὕψος. αὐτὸς γὰρ
ἐστὶν ἡ κεφαλὴ τῆς ἐκκλησίας καὶ τελείωσις πάσης ἀγαθοσύνης, καὶ ἐν αὐτῷ
πᾶσα οἰκοδομὴ συναρμολογεῖται καὶ αὔξεῖται εἰς αὔξησιν τοῦ θεοῦ, ἐν ᾧ πᾶν τὸ

88 Ephes 4, 13 | 15 Gal 4, 26 | 22 Ephes 2, 21 4, 16

88 ο von ἑνότητα spät [?] aus ω | 93 τύπος B gegen א | 95 wirklich wieder ἕνεκε m | 95 ἐπενεχθησῶν | 96 βάσεισ m¹, βάσισ m², alt | 3 πᾶσι von erster Hand als hier einzufügend am Rande | 5 διαφημήσει | 13 τῆσ καθολικῆσ ἐκκλησίασ | 13 ἐν B, εἰσ m | 13 συναφθῆσαι αὔτη | 15 ὁμονούσησ | 19 θεορεῖσ | 20 τέλοσ ὕψουσ m¹ | 22 συναρμολογῆται

σῶμα σὺν τοῖς ἄρθροις καὶ μέλεσι καὶ ἁρμονίαις ἐν βεβαιότητι κοσμεῖται. φῶς
564 δὲ περιέχει τὸν σταυ‖ρόν. τοῦτ᾽ ἔστιν τὸ πνεῦμα τῆς θεότητος, ὃ τὸν υἱὸν δοξά-
ζει, καὶ συνεμίγη ταῖς ἀκτῖσιν αὐτοῦ, ἐπειδὴ παρὰ τοῦ υἱοῦ δεξάμενον διηγεῖται
τοῖς ἰδίοις ἀγαπητοῖς, καὶ ἡνώθη ἐπὶ τὸ αὐτό, ὅτι μία ἐστὶν ἡ φύσις τῆς θεότητος.

118 καὶ ὅτι ἐξέλαμψεν ἐν μέσῳ τῶν τεσσάρων στύλων καὶ ἐξέρρευσεν σφο-
δροτάτη πηγή, ὅτι τῆς καθολικῆς ἐκκλησίας ἡ χάρις τοῦ πνεύματος ἐν μέσῳ
τῶν μαρτυρησάντων καὶ τῆς ἱερωσύνης ἐξερεύξεται πηγὴ βαπτίσματος, ἀπολού-
σασθαι τὸν ῥύπον τῆς ψυχῆς μετὰ τοῦ σώματος, καὶ ὅτι σφοδρῶς ἀναβλύσασα
92[2] ἐπλήρωσε τὰ σύμπαντα διὰ τὸ γενέσθαι σωτηρίαν | διὰ τοῦ βαπτίσματος πολλῶν
λαῶν. ἐπειδὴ καὶ οὐρανόμορφος ἐφάνη πᾶσα ἡ πεδιάς, τοῦτ᾽ ἔστιν ὅτι ἡ γῆ ὡς
οὐρανὸς γίνεται, συναπτομένων ἀγγέλων καὶ ἀνθρώπων. καὶ τὸ πλῆθος τῶν πυ-
565 ρίνων, ὅτι ἀληθῶς γίνονται θυσιαστήρια ‖ θεοῦ, τὸν ἐξιλασμὸν πᾶσι διαμερίζοντα.
καὶ πύρινα διὰ τοῦτο ἐφάνησαν, ἵνα ἡ λατρεία τοῦ πνεύματος γένηται ἐν δόξῃ.
καὶ στύλοι καθ᾽ ἕκαστον θυσιαστήριον ἡ λειτουργία τῶν εὐχῶν τῆς ἱερωσύνης,
καὶ σταυροὶ ἐπάνω αὐτῶν, ἵνα τὸ πανάγιον ὄνομα τοῦ Χριστοῦ δοξασθῇ εἰς τὰ
πέρατα τῆς γῆς. καὶ ὅτι κατὰ τὸ πλῆθος τῶν ἄστρων ἦσαν, ὅτι ἡ προσκύνησις
τῆς ἁγίας τριάδος ὡς ἀστέρες πληθυνθήσεται. καὶ τὰ πλήθη τῆς ἀγέλης τῶν
μελάνων αἰγῶν τῶν κατελθόντων εἰς τὸ ὕδωρ καὶ μεταβληθέντων εἰς τὴν λευκότητα
τῶν προβάτων, ἰδοὺ ἡ δεξιὰ τῆς θεϊκῆς χάριτος διὰ τῆς ἱερωσύνης φθάνει, δι᾽
ἧς ἐξερεύξεται ἡ πηγὴ τοῦ βαπτίσματος, ἄφεσιν καὶ ἐξιλασμὸν φέρουσα τοῖς
93[1] | ἁμαρτωλοῖς. καὶ τὰ χρυσόμαλλα ὡς φῶς ἐξέλαμψαν, τοῦτ᾽ ἔστιν, οἱ βαπτιζόμε-
566 νοι φῶς ἐνδύσονται καὶ τῆς ἐπηγγελμένης βασιλείας γίνονται ἄξιοι. καὶ τὰ γεν-
νηθέντα ποίμνια καὶ πληρώσαντα τὰ σύμπαντα, τοῦτ᾽ ἔστιν, χρόνον πολὺν αὐξη-
θήσεται τὸ κήρυγμα, καὶ γεννήσει νέον γέννημα εἰς ἀναγέννησιν, καὶ πληθυνεῖ
αὐτοὺς τὸ βάπτισμα.

119 καὶ ὅτι μέρος τῶν ποιμνίων εἰσελθὸν εἰς τὸ ὕδωρ ἐπέρασεν ἐκεῖθεν
παρῆλθεν, τοῦτό ἐστιν, ἐν ἐσχάτοις καιροῖς ἀναστήσονταί τινες ἐκπεσόντες τῆς
ἀληθείας. ἀπορρίψουσι γὰρ τὴν σφραγῖδα τῆς διαθήκης καὶ τῆς θεϊκῆς ἁγι-
στείας, καὶ ἐάσουσι τὰ ἅγια προστάγματα, καὶ ἐκ τῶν ἀρνίων γίνονται λύκοι,
καὶ κατακόψουσι τὰ ἅγια ἀρνία, τοῦτ᾽ ἐστίν, τοὺς ἐν τῇ ἀληθείᾳ ἐμμείναντας, καὶ
ἀπὸ τῆς ἱερατικῆς τάξεως γίνονται λύκοι, καὶ ἐκχύσεις αἱμάτων ποιήσουσι τοῖς
93[2] ἀρνίοις | τῶν ἀρνίων τῆς ἱερατικῆς διαθήκης καὶ τοῖς λαοῖς ταραχήν. οἱ δὲ ὑ-
πομείναντες ἀδιστάκτως ἐκ τῶν ἀρνίων καὶ τῶν λαῶν καὶ ἱερέων, πτέρυγας λα-
567 βόντες εἰς ‖ τὴν βασιλείαν τοῦ Χριστοῦ πετασθήσονται. οἱ δὲ τὴν γνώμην τῶν
λύκων καὶ τὴν πρᾶξιν τῆς ἁρπαγῆς αὐτῶν ἔχοντες τῷ ἀσβέστῳ πυρὶ παραδοθή-
σονται. καὶ σύ, φησίν, θάρσει καὶ κραταιοῦ καὶ ἀσφάλισαι, ὅτι ἔφθασεν ἔργον

23 Ephes 2, 21 4, 16

23 κοσμῆται | 27 ἐξέρευσεν | 32 πεδιάς L, παιδεία m[1], πεδία m[2] | 34 τὸν ἐξιλασμένον m[1], τὸν ἐξιλασμένων m[2] erster Hand: Text aus B | 40 μεγάλων | 42 ἐξερεύξηται | 44 γένωνται | 48 εἰσελθὼν | 48/49 so | 50/51 ἁγιστίας | 51 ἐάσουσιν m[1], Punkt über ν | 51 γίνωνται | 53 γίνωνται | 54 ἱερατικῆς von erster Hand aus ἱερατικοῖς | 54/55 οἱπο▧μείναντες m, radiert ist wohl υ | 58 θάρσου

εἰς τὰς χεῖράς σου· ἡτοίμασταί σοι γὰρ τὰ ἀγαθά, ὅπως εἰσελθὼν μετὰ τῶν
ἀληθινῶν ἐργατῶν κομίσῃ τοὺς μισθούς, τὰ ἄφθαρτα δωρήματα τοῦ Χριστοῦ.
νῦν οὖν ἀσφάλισαι τὴν πιστευθεῖσάν σοι παραθήκην παρὰ τοῦ κυρίου Ἰησοῦ Χρι-
στοῦ. οἰκοδομήσεις δὲ ναὸν τῷ ὀνόματι τοῦ θεοῦ εἰς τὸν τόπον τὸν δειχθέντα
σοι, ὅπου ὁ στύλος ὁ πύρινος ὁ ἔχων χρυσῆν βάσιν καὶ τὰ μαρτύρια τῶν ἁγίων
ἐν τοῖς τόποις τῆς σφαγῆς αὐτῶν, ὅπου ἐγένοντο θυσία ζῶσα ὑπὲρ τῆς τοῦ Χρι-
στοῦ ἐλπίδος, ἵνα καὶ οἱ πεπληγότες ἰαθῶσιν καὶ ἡ κατευ|όδωσις τοῦ κηρύγματος 94[1]
προκόψῃ διὰ παντός, ἡμέραν ἐξ ἡμέρας πάντας φθάσαι εἰς ἄνδρα τέλειον, εἰς
μέτρον ἡλικίας τῆς πίστεως τοῦ Χριστοῦ. || ταῦτα δὲ αὐτοῦ εἰπόντος, περὶ τὸν ὄρ- 568
θρον σεισμὸς ἐγένετο, καὶ παρῆλθεν τὸ ὅραμα.

**120** νῦν οὖν ὁ πάντων ποιητής, ὁ πάντων πλάστης, ὁ πάντων κτίστης, ὁ πάν-
σοφος, ὁ πάντων κύριος, ὁ παντοκράτωρ, ὁ πάντων γνώστης, ὁ πάντων ἰατρός, ἐπαί-
δευσεν ὑμᾶς, ἵνα τῆς θεότητος αὐτοῦ οἰκείους ὑμᾶς ποιήσῃ ὁ δείξας ὑμῖν δι' ἡμῶν
τὴν τῆς ζωῆς ὁδὸν καὶ ἐπιτήδευσιν σωτηρίας, δι' ἧς τὴν συγχώρησιν ἐπιφέρει
ὑμῖν ἐφ' ἅπαξ. διὰ τοῦτο καὶ τὴν τῶν μελλόντων ὅρασιν ἔδειξέν μοι διηγήσασθαι
ὑμῖν, ὥστε τὸ θέλημα αὐτοῦ ἐν ὑμῖν νῦν ἀποτελεσθῆναι. ὑμεῖς δὲ σπεύσατε πρὸς
τὴν διαταγὴν τὴν παρ' αὐτοῦ ῥηθεῖσαν. δεῦτε μετενέγκωμεν τοὺς μάρτυρας εἰς
ἀνάπαυσιν, ὅπως καὶ αὐτοὶ ὑμᾶς | μετενέγκωσιν εἰς ἀνακαίνισιν. τοῦτο δὲ εἰ- 94[2]
πών, ἐκέλευσε τὰ πρὸς τὴν οἰκοδομὴν || ἐν τοῖς προστεταγμένοις τόποις, κομίζοντες 569
οἱ μὲν λίθον, οἱ δὲ πλίνθον, οἱ δὲ κέδρινα ξύλα ἐν ἀγαθότητι καρδίας καὶ σπου-
δῇ καὶ φόβῳ. αὐτὸς δὲ ὁ ἅγιος Γρηγόριος, ἀναλαβὼν τὸ τῶν οἰκοδόμων σπαρ-
τίον, τὰ θεμέλια τῶν ναῶν ἐχάραξε, καὶ ἕκαστος ἐκ τοῦ πλήθους φροντίδα ἀνα-
δεξάμενος, καλλίστῳ χαράγματι εὐαρμόστως τοὺς θεμελίους κατέθεντο εἰς ἐκδω-
μάτωσιν τῆς οἰκοδομῆς, πάντων χεῖρα ὀρεξάντων εἰς τὸ ἔργον ἐν πίστει καὶ φόβῳ
μεγάλῳ, δεδιὼς ἕκαστος μήπως ὕστερον τῆς σωτηριώδους χάριτος ἐκπέσῃ τῆς
ἰάσεως. ἐξεδωμάτωσαν δὲ ναοὺς τρεῖς, ἕνα ἐν τοῖς βορεινοῖς μέρεσι κατὰ ἀνα- 570
τολὰς τῆς πόλεως, ἔνθα ἐμαρτύρησαν αἱ περὶ τὴν ἁγίαν Ῥιψίμην τριάκοντα τρεῖς,
τὸν δὲ ἕτερον ἐν τοῖς μέρεσι τοῦ νότου, ἔν|θα ἐμαρτύρησεν ἡ τῆς ἁγίας τροφὸς 95[1]
Γαιανὴ μετὰ τῶν τριῶν αὐτῆς ἑταίρων, τὸν δὲ τρίτον παρὰ τὴν ληνὸν ἐν μέσῳ
τοῦ ἀμπελῶνος, ὅπου τὸ πρότερον ὑπῆρχεν αὐτῶν ἡ καταμονή.

**121** οἰκοδομήσαντες δὲ τοὺς τόπους ἐκόσμησαν χρυσοῖς καὶ ἀργυροῖς φα-
νοῖς καὶ λαμπάσιν ἀσβέστοις καὶ λυχνίαις καιομέναις διὰ παντός. προσέταξε δὲ
αὐτοῖς ποιῆσαι καὶ λάρνακας ἑκάστῳ ἀπὸ σανίδων κεδρίνων ἐν στερεοῖς ἥλοις
συγκλεισθείσας. καὶ πάντα κατὰ τὸ προστεταγμένον παραυτίκα ἀπηρτίσθη. ἐνε-

66 Ephes 4, 13

59 ἑτοίμασταί | 60 κομίσει | 60 Ende χ̄ῡ erster Hand auf Rasur | 62 oberer Haken des δ von οἰκοδομήσεισ jünger | 62 ει von δειχθέντα erster Hand auf Rasur | 64 erstes σ von σφαγῆς erster Hand über der Zeile | 64 τω von αὐτῶν erster Hand auf Rasur | 65 κατευώδωσισ | 66 ρ von ἡμέραν jünger auf Rasur | 70 παντοκράτορ | 71 ποιήσει | 76 ἀνακαίνωσιν m[1], ἀνακαίνησιν m[2], das η über der Zeile scheint jüngerer Hand | 77 nach ℵ ist der Text unvollständig | 78 πλήνθον | 83 δεδειῶσ | 84 βορινοῖσ | 85 hier Femininum | 85 ῥηψήμην m[1], ῥιψήμην m[2] | 86 τροφοῦ | 87 γαϊανῆσ

χθεισῶν δὲ τῶν λαρνάκων πρὸς τῇ θύρᾳ τῆς ληνοῦ ἐνώπιον τοῦ ἁγίου Γρηγορίου,
571 αὐτὸς ‖ καταμόνας εἰσῆλθεν, μὴ συγχωρήσας ἄλλῳ τινὶ συνεισελθεῖν αὐτῷ. οὐ γὰρ
δεῖ, φησίν, ὑμᾶς πλησιάσαντας προσπελάσαι αὐτοῖς, μήπω ἰαθέντας μηδὲ καθα-
ρισθέντας διὰ τοῦ βαπτίσματος. αὐτὸς δὲ λαβὼν τὰς λάρνακας ἔσω, ἕκαστον τῶν
$95^2$ ἁγίων ἐν τῇ ἰδίᾳ λάρνακι κατέθετο, σὺν τοῖς | αὐτῶν ἐσχισμένοις ἱματίοις περι-
σφίγξας ἐσφράγισε τῇ τοῦ Χριστοῦ σφραγῖδι. ὁ δὲ βασιλεὺς καὶ οἱ μεγιστᾶνες καὶ
ὁ στρατός, ἕκαστος, προσέφερον μύρα εὐωδέστατα καὶ ἀρώματα καὶ ἐνδύματα διά-
φορα ἀπὸ μεταξίων ὑφασμένα καὶ χρυσέμπαστα ὁλοσηρικά. καὶ ἡ γυνὴ τοῦ βα-
σιλέως καὶ νεάνιδες τοῦ αὐτοῦ γένους καὶ αἱ τῶν μεγάλων γυναῖκες καὶ θυγα-
572 τέρες τὰ πορφυρᾶ καὶ διάχρυσα καὶ βύσσινα καὶ οὐρανόχρωτα καὶ χιονο‖φανῆ εἰς
τὰ ἐνδύματα τῶν ἁγίων προσέφερον, ὡσαύτως χρυσὸν καὶ ἄργυρον καὶ λινὸν ἐκό-
μισαν ἐν σπουδῇ πρὸς τὴν θύραν τῆς ληνοῦ.

122 ἐξελθὼν δὲ ὁ ἅγιος Γρηγόριος, ἐθεάσατο πάντα βεβουνισμένα ἐπὶ τῇ
θύρᾳ. καὶ μὴ καταδεξάμενος λαβεῖν τι ἐξ αὐτῶν, ἔφη πρὸς αὐτοὺς Τοῦτο ὑμῖν
πάλαι εἴρηκα ὅτι οὐ δέον ἐστὶν τῶν ὑμετέρων τι αὐτοῖς προσεγγίσαι, μήπω κα-
θαρισθέντων τῷ λουτρῷ τοῦ ἁγίου βαπτίσματος. ἡ δὲ προθυμία ὑμῶν δεκτή ἐστιν
περὶ τῆς σωτηρίας τῆς ὑμετέρας. ταῦτα δὲ πάντα ἐν τοῖς ὑλικοῖς ταμείοις τηρη-
$96^1$ θείη, μέχρις ὑμῖν ποιμὴν καὶ διδάσκαλος ἀπὸ τῆς τοῦ φιλανθρώπου δωρεᾶς πα-
ρασχεθείη. καὶ γένωνται ἱερεῖς καὶ ἐπίσκοποι καὶ πᾶσα ἐκκλησιαστικὴ ἀκολου-
θία. φωτισθέντες οὖν ἐν τῇ τοῦ θεοῦ ἀγάπῃ τότε καὶ ταῦτα πάντα εἰς ὑπηρε-
573 σίαν τῶν τοῦ θεοῦ θυσιαστηρίων ἕξετε διὰ τοῦ καθισταμένου ὑμῖν ἀρχι‖ερέως.
νῦν δὲ προσελθόντες χεῖρα ὀρέξατε, ἵνα ἕκαστον αὐτῶν ἐν τῇ ἰδίᾳ καταθέσει κα-
ταπαύσωμεν. ὁ οὖν βασιλεὺς Τιριδάτιος ἔτι ὑπῆρχεν ἐν τῇ τοῦ χοίρου μορφῇ, καὶ
τοῖς ὄνυξι τῶν χειρῶν καὶ ποδῶν καὶ τὸ ὁμοίωμα τῆς ὄψεως πλὴν τῆς ἀνθρω-
πίνης ὁμιλίας. ἦσαν δὲ καὶ οἱ ὀδόντες μεγάλοι ὡς συάγρων, καὶ τῶν βοστρύχων
ἡ δασύτης περὶ ὅλον τὸ σῶμα, περιδεδεμένος ἐν σάκκῳ ὡς φοβερὸν θέαμα ἐν
μέσῳ τῶν λαῶν.

123 προσελθὼν οὖν παρεκάλει τὸν ἅγιον Γρηγόριον ὅπως τῶν χειρῶν καὶ
τῶν ποδῶν τῆς ἰάσεως ἐπιτύχῃ, καὶ τοῦ ἔργου τῶν ἁγίων μὴ ἄμοιρος παντελῶς
$96^2$ γένηται. ὁ δὲ ἅγιος Γρηγόριος εἰσελθὼν καὶ γόνυ κλίνας τῷ πάντων | δεσπότῃ καὶ
574 φιλανθρώπῳ θεῷ, περιλαβών τε καὶ τοὺς λάρνακας τῶν ἁγίων μαρτύρων καὶ μα-
καρίων σωμάτων τῶν τοῦ Χριστοῦ ἀθλητῶν προσέφερεν ἐκτενεῖς δεήσεις, ἐπάρας
τὰς ἁγίας καὶ διὰ παντὸς ἡπλωμένας χεῖρας εἰς τὸν οὐρανόν, ἐπιζητῶν τῷ βα-
σιλεῖ καὶ τοῖς συναχθεῖσιν ἴασιν. ἡ δὲ κραυγὴ πάντων καὶ ὀλολυγμὸς καὶ ὁ κλαυθ-
μὸς τὸν ἀέρα ἐπλήρου. στραφεὶς οὖν πρὸς τὸν βασιλέα, διὰ τῆς τοῦ Χριστοῦ
χάριτος τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἰάσατο· ἐξέπεσαν γὰρ αἱ ὁπλαὶ αὐτοῦ,
ἵνα κοινωνὸς γένηται τοῦ ἔργου τῶν ἁγίων, ταῖς ἰδίαις χερσὶ καταξιούμενος κο-
πιᾶν. ἰαθεὶς οὖν ἠρώτα τὸν ἅγιον Γρηγόριον τί αὐτῷ προστάττει ποιεῖν. ὁ δὲ τὸ

95 δεῖ B, δὴ $m^1$, δῇ $m^2$ erster Hand | 100 ὁλοσίρικα | 1/2 θυγατέραις | 2/3 εἰςὰ [vielleicht εἰςάς] nur am Rande, als hier einzufügend | 13 ἕξητε | 13 καθησταμένου | 15 τηρηδάτιος | 16 τὸ ὁμοίωμα verstehe ich nicht zu ändern, τῷ ὁμοιώματι B | 17 ὁμηλίας | 23 hier τους | 30 ἐαθεὶς

μέτρον δέδωκεν αὐτῷ τῶν ἁγίων λαρνάκων, ὥστε σκάπτειν τοὺς τόπους ἑκάστῃ
λάρνακι ἐν ταῖς στοαῖς τῶν μαρτύρων ἐν τόποις ἀφωρισμένοις παρὰ κυρίου. πα-
ρεκάλεσε δὲ τὸν ἅγιον Γρηγόριον κελεῦσαι τὴν βασίλισσαν Ἀσιχήνην τὴν αὐτοῦ γυ-
ναῖκα καὶ τὴν ἀδελφὴν τὴν καλουμένην Κουσα|ρωδούκτα συνέργους αὐτῷ γενέ- 97[1]
σθαι, ὅπως ‖ καταξιωθῶσι καὶ αὐταὶ κοινωνῆσαι τοῦ ἔργου. κελεύσαντος δὲ αὐ- 575
τοῦ, ἐπορεύθησαν σκάπτειν κατὰ τὸ διάμετρον τῶν λαρνάκων ἔσω ἐν τῷ ναῷ ἐν
τοῖς τόποις τῆς αὐτῶν καταπαύσεως.

**124** λαβὼν οὖν ὁ βασιλεὺς ἀξινόρυγα λαξευτήριον καὶ ἀμμήν, ἔσκαπτε τοὺς
τῶν ἁγίων τόπους κατὰ τὸ μέτρον τῶν λαρνάκων. ἡ δὲ βασίλισσα Ἀσιχήνη καὶ
ἡ τοῦ βασιλέως ἀδελφὴ Κουσαρωδούκτα, δεξάμεναι τὸν χοῦν εἰς τοὺς κόλπους
αὐτῶν, ἔξω ἐκόμιζον. καὶ ἀκολούθως ἡτοίμασαν πρῶτον τὴν τῆς ἁγίας Ῥιψίμης
κατάθεσιν, ἔπειτα τῶν τριάκοντα τριῶν ἐν τῷ τόπῳ τῆς αὐτῶν μαρτυρίας, ὅπου
ἐκενώθη τὸ αἷμα αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. ὁμοίως δὲ ἐν τῷ μαρ-
τυρίῳ τῷ ‖ κατὰ νότον τῆς πόλεως ἡτοίμασαν τῆς ἁγίας Γαιανῆς καὶ τῶν ἅμα αὐ- 576
τῇ τριῶν αὐτὸς ὁ βασιλεὺς σὺν τῇ ἰδίᾳ ἀδελφῇ καὶ τῇ δεσποίνῃ Ἀσιχήνῃ τὰς
θήκας, χερσὶν ἰδίαις περικοσμήσασαι τοὺς ἑκάστους τόπους. μετὰ δὲ | ταῦτα προ- 97[2]
σελθὼν ὁ βασιλεὺς συνετάξατο τῷ ἁγίῳ Γρηγορίῳ εἰς ὑψηλότατον καὶ μέγα ὄρος,
Μασὶς λεγόμενον, ἀπελθεῖν, ἑπτὰ ἡμερῶν ὁδὸν ἔχον, ὥστε ἀπὸ τῆς κορυφῆς λα-
βεῖν λίθους ἀκροτόμους στιβαροὺς πλάτει τε καὶ μήκει παμμεγέθει ὡς μὴ ῥᾳ-
δίως κινεῖσθαι ὑπὸ πλήθους ἀνθρώπων. ἀναβαστάξας οὖν τῷ νώτῳ γιγαντιαίως
καὶ κομίσας ὀκτὼ στήλας εἰς τὰς θύρας τῶν ναῶν, ἔστησεν παραστάδας καὶ ὑ-
πέρθυρα. ἀντὶ τῆς προτέρας καὶ ἀνοήτου μάχης ἣν μετὰ τῆς ἁγίας Ῥιψίμης ἐ-
πύκτευσεν ‖ ἐν τῷ ἰδίῳ κοιτῶνι, ἀντεισφέρων τῶν πόνων. 577

**125** οἰκοδομήσας δὲ καὶ καλλωπίσας τρεῖς ναοὺς τῶν μαρτύρων μετὰ πά-
σης ἑτοιμασίας καὶ παντὸς κόσμου, ἕκαστον τῶν ἁγίων ἐν τοῖς ἰδίοις τόποις ἀ-
πεκατέστησεν. καὶ τὴν μὲν ἁγίαν Γαιανὴν πρὸς τοῖς νοτιαίοις μέρεσι μετὰ τῶν
τριάκοντα τριῶν ἐν τοῖς βορεινοῖς μέρεσι κατὰ ἀνατολὰς τῆς πόλεως ἐν τῷ ναῷ
παραδέδωκαν, καὶ τὴν σφαγεῖσαν ἀσθενῆ ἐν τῇ ληνῷ ἀπέθεντο, ἔνθα καὶ γέγονε
ναὸς κατὰ βορρᾶν τῆς πόλεως. | πάντας οὖν τοὺς μάρτυρας παθόντας ὑπὲρ τοῦ 98[1]
Χριστοῦ μετήνεγκαν εἰς τὸν ἑκάστου τόπον τῆς αὐτῶν καταθέσεως κατὰ τὴν προ- 578
φανεῖσαν ὅρασιν τῷ ἁγίῳ Γρηγορίῳ οὕτως τελειώσαντες. ἔσω δὲ τῶν τριῶν ναῶν
ἐπάνω τῶν κοιμητηρίων καὶ ζωηφόρων τάφων ἐν τοῖς τόποις τῶν θυσιαστηρίων ἔ-
στησεν ἑκάστῳ τὸ δεσποτικὸν σημεῖον τοῦ σταυροῦ, ἵνα (φησίν) ἐνώπιον τοῦ ζωο-
δότου σημείου τούτου προσκυνήσητε κύριον τὸν θεὸν τὸν ποιήσαντα ὑμᾶς. καὶ
φησὶν Ἰδοὺ στύλοι στερεοὶ ἀνέστησαν τῇ ὑμῶν κατεστραμμένῃ οἰκοδομῇ. οὗτοι οἱ
στύλοι ἀναβαστάζουσιν τὸ βάρος τῆς οἰκοδομῆς ὑμῶν εἰς σωτηρίαν. ἰδοὺ τρεῖς
στύλοι. ὁ δὲ τέταρτος στύλος τῆς ζωῆς πρὸς θεὸν ὑμᾶς ἀναφέρει. δεῦτε, τὸν δι-
αταχθέντα τόπον τοῦ δεσποτικοῦ οἴκου περιτειχίσωμεν περιβόλῳ. καὶ ἅμα τῷ βασιλεῖ

32 ἀφορισμένοισ | 38 so m, nur ἀμμὴν mit Gravis | 41 ῥιψήμησ | 47 ὑψηλώτατον | 48 μασῆσ | 50 νότω γηγαντιαῖοσ | 52 ῥιψήμης | 53 etwa τὸν πόνον zu schreiben? | 56 ff. nach ℵ unvollständig | 57 βορινοῖσ | 59 βορρᾷ | 65 κατεστρεμμένη | 66 ςρεῖς, ganz spät das τ durch das σ gezogen | 68 περιτειχήσωμεν

579 σὺν τοῖς ὄχλοις ἀπελθὼν εἰς τὸν τόπον. ἔνθα ἐθεάσατο τὸν στύλον πύρινον ἐπὶ τῇ
χρυσῇ βάσει περιετείχισεν ὑψηλοτάτῳ τείχει εἰς τιμὴν τοῦ τόπου. θυρεῷ δὲ καὶ κλεί-
98[2] θροις ἀσφαλισάμενος, καὶ στήσας ἐκεῖ τὸ σωτήριον | σημεῖον τοῦ σταυροῦ, ἐκέ-
λευσεν ἵνα ἐν τῷ τόπῳ ἐκείνῳ πάντες φθάνοντες καὶ γονυπετοῦντες προσκυνήσωσι
τὸν παντοκράτορα θεόν.

126 οὕτως οὖν φωτίσας τὰς ψυχάς, ἐν τῷ θεϊκῷ ἅλατι ἀρτύσας διὰ τοῦ
εὐαγγελικοῦ κηρύγματος, ἀπέστησε τῶν ματαίων σεβασμάτων καὶ χειροποιήτων
εἰδώλων, καὶ εἰσήγαγεν αὐτοὺς εἰς λατρείαν τοῦ φιλανθρώπου θεοῦ. ἀπὸ τότε
οὖν ἰδίᾳ γνώμῃ καὶ προθυμίᾳ ἐσπούδαζον εἰς εὐχὰς καὶ νηστείας, εἰς φόβον
καὶ ἀγάπην καὶ ἀκρόασιν τῆς θεϊκῆς διδασκαλίας. συναχθέντων δὲ ἐπὶ τὸ αὐτὸ
ὄχλων πολλῶν καὶ λαῶν, ἐν τῷ τῆς προσκυνήσεως τόπῳ προσεφώνησεν ὁ ἅγιος
580 Γρη||γόριος καὶ φησὶ Κλίνατε γόνυ πάντες, ὅπως ποιήσῃ κύριος ἴασιν τοῖς τιμω-
ρουμένοις. πάντων δὲ καμψάντων γόνυ τῷ θεῷ, ἐκτενῶς ὁ ἅγιος Γρηγόριος ηὔ-
χετο δεόμενος, μετὰ πόνου καὶ πολλῶν δακρύων ἴασιν ἐπιζητῶν. ὁ δὲ βασιλεὺς
99[1] ἑστηκὼς ἐν μέσῳ τῶν λαῶν ἐν τῇ προρ|ρηθείσῃ μορφῇ, ἐξαίφνης ἤρξατο τρέμειν
καὶ τὴν λεπίδα τοῦ χοίρου ἐκ τοῦ ἰδίου σώματος ἀπορρίπτειν μετὰ τῆς κακοει-
δοῦς ὄψεως καὶ τῶν ὀδόντων καὶ τῆς δασύτητος τῶν τριχῶν, ἐκδυσάμενος δὲ τὸ
παχύτατον δέρμα. εἰς τὴν ἰδίαν μορφὴν ἐστράφη τοῦ προσώπου αὐτοῦ, καὶ τὸ σῶ-
μα γέγονεν ἁπαλὸν ὡς παιδίου προσφάτως γεγεννημένου καὶ ὁλοκλήρως τοῖς μέ-
581 λεσι πᾶσιν ἰάθη. ὡσαύτως δὲ καὶ οἱ λοιποὶ ἄνθρωποι ἐνοχληθέντες πολλοὶ || ἐκ τῶν
διαφόρων νοσημάτων ἰάθησαν, λεπροί, ξηροί, παραλυτικοί, ὑδρωπικοί, δαιμονιῶν-
τες, λελωβημένοι καὶ ποδαλγοί. καὶ οὕτως ἀνοιχθείσης τῆς τοῦ φιλανθρώπου
Χριστοῦ χάριτος, εἰς πάντας ἦλθεν ἴασις διὰ τοῦ δούλου αὐτοῦ Γρηγορίου, καὶ
καθῆρεν αὐτοὺς ἀπὸ τῶν νοσημάτων.

127 καὶ ἡ πηγὴ τῆς τοῦ Χριστοῦ γνώσεως τὰς ἀκοὰς πάντων ἐπλήρωσε τῇ
99[2] ἀληθινῇ διδασκαλίᾳ τοῦ Χριστοῦ. ἐθεωροῦντο | οὖν τότε καρδίαι πλήρεις εὐφροσύ-
νης καὶ θυμηδίας. ἡ γὰρ χώρα ἐκείνη, ἥτις καὶ τῆς φήμης τῶν θαυμασίων τού-
των ἄμοιρος ἦν, καὶ τὰ τῆς ἀπιστίας μέρη, ἐν οἷς τὰ θαυμάσια τοῦ θεοῦ ἐτελέ-
σθη, εὐθέως τῶν οὕτως γενομένων πραγμάτων ἐν πείρᾳ γέγονεν, οὐ μόνον διὰ τὴν
582 θείαν διδασκαλίαν, ἀλλὰ || καὶ τὴν προορισθεῖσαν αἰώνων ἐπαγγελίαν, ὅπως τοῖς
ἐνεστῶσι καὶ τοῖς ἐπερχομένοις καὶ ἐπέκεινα τὰ θεοδώρητα χαρίσματα παραδο-
θῇ. γυμνασθέντες οὖν κατ' ὀλίγον τοῖς πράγμασι μετὰ παρρησίας καὶ προσθή-
κης, τὴν μάθησιν τῆς καινῆς διδασκαλίας συνήγοντο διδαχθῆναι. ὀξυνθέντες οὖν
καὶ ἑτοιμασθέντες εἰς τὸ κήρυγμα οἱ ἐν ἀγνοίᾳ πρότερον ὄντες ἄνθρωποι προ-
σέτρεχον, ἀπὸ διαφόρων μερῶν καὶ πατρίδων τῆς Ἀρμενίων χώρας ὁρμώμενοι,
καὶ ἐν σπουδῇ κατελάμβανον τὴν ἀνοιχθεῖσαν πηγὴν τῆς τοῦ Χριστοῦ χάριτος
100[1] καὶ τῆς γνώσεως εἰς Ἀραρὰτ τὴν πατρίδα καὶ | βασιλικὴν χώραν ἐκ τοῦ οἴκου
Θοργώμ, ἐν ᾗ ἐξέρρευσεν ἡ χάρις τοῦ κηρύγματος τοῦ εὐαγγελίου τοῦ θεοῦ.

70 περιετείχησεν ὑψηλωτάτω | 70 θυραιῶ | 71 ἀσφαλησάμενος | 72 προσκυνήσουσι | 80 ποιήσει | 83 πορρηθήσει | 94 vor διδασκαλίᾳ + (am Zeilenende) ein jetzt radiertes διδα | 94 ἐθεοροῦντο | 94 πλήρης | 96 ἀπιστείας | 98 προωρισθεῖσαν

128 τότε οὖν συμβούλιον ἐποιήσαντο ὁμοθυμαδὸν μετὰ τοῦ βασιλέως καὶ
τῶν μεγιστάνων ἕνεκεν τῆς κοινῆς εἰρήνης, ὥστε καθελεῖν καὶ κατασκάψαι τὰ
σκάνδαλα καὶ ἐκ μέσου ἀπᾶραι, ἵνα μηδενὶ γένηται σκόλοψ καὶ πρόσκομμα ὥστε
ἐμποδίζειν πρὸς τὴν ἀνωτάτην ἐλευθερίαν, ὅπως θαρροῦντες φθάσωσιν εἰς τὴν
τῶν ἀγαθῶν τελείωσιν κατὰ τὸ σημειωθὲν ῥητὸν τοῦ ἁγίου Παύλου, ὥστε πάντας
φθάσαι εἰς μέτρον τῆς τοῦ Χριστοῦ ἡλικίας, ὧν ἡ ἐλευθερία ἐν τῷ οὐρανῷ, ὅ-
θεν καὶ σωτῆρα ἀπεκδεχόμεθα (φησίν) Χριστόν, καὶ τὸ καύχημα ἔχομεν ἐν τῷ
σταυρῷ, καὶ τὸν ἔπαινον εἰς δόξαν θεοῦ. ἐν τάχει οὖν ὁ βασιλεὺς ἐξουσιαστικῶς
ἐκέλευσεν, συμπειθομένων καὶ τῶν λοιπῶν, ἐν τῇ ἐξουσίᾳ τοῦ ἁγίου Γρηγορίου
εἶναι τὴν καταστροφὴν τῶν πατρῴων νομιζομένων αὐτοῖς θεῶν καὶ τῶν βωμῶν αὐ-
τῶν, ὅπως ἐξάρῃ ἐκ μέσου τὰ | μνημόσυνα αὐτῶν. αὐτὸς οὖν ὁ βασιλεὺς 584 100[2]
ἐπορεύθη μετὰ τοῦ στρατεύματος ἀπὸ Οὐαλεροκτίστης τῆς πόλεως εἰς τὴν Ἀρτα-
ξερξοκτίστην, ὥστε καταστρέψαι τὸν ἐκεῖσε βωμὸν τῆς Ἀρτέμιδος ἐν τοῖς λεγομέ-
νοις τόποις ὀνειρομούσοις. ἀπιοῦσι δὲ αὐτοῖς ὑπήντησε τόπος προσαγορευόμενος ὀ-
νειροπόλων, ὀνειροδεικτῶν σέβασμα δαίμονος Γραμματέως καὶ γνώσεις ἱερέων.
Τρίδις ἐκέκλητο βωμὸς Ἀπόλλωνος· χαρτουλαρίων Διὸς διδαχῆς εὐμαθήτου ἱερέων.

129 πρῶτον οὖν τοῦτον χειρωσάμενοι καθεῖλαν καὶ ἔκαυσαν, καὶ ἐκ θε-
μελίων κατέστρεψαν, ἐν ᾧ φανέντων τῶν δαιμόνων ὡς πλῆθος στρατοπέδων καὶ
νουμέρων ἡτοιμασμένων ὡς εἰς παράταξιν, λόγχας βασταζόντων ἐν σχήματι ἀν-
θρώπων προστρεχόντων μετὰ δοράτων καὶ θυρεῶν καὶ μεγάλως βοώντων, τροπὴ
γέγονεν αὐτῶν, καὶ εἰς τὸ τῆς Ἀρτέμιδος ‖ ἱερὸν ἔφυγον, ὅθεν καὶ τοῖς καταλα- 585
βοῦσιν ἀνθρώποις ἀνθιστάμενοι ἐμάχοντο, βέλη ἀδύνατα | καὶ λίθους ὡς λαίλαπας 101[1]
ἄνωθεν ἐκ τῆς οἰκοδομῆς κατὰ τῶν ἀνθρώπων ἀκοντίζοντες, οὓς πρὸς ὀλίγον ἐτά-
ραξαν, νεοπίστους ὑπάρχοντας. ὡς δὲ Γρηγόριος ταῦτα ἐθεάσατο, τὸ δεσποτικὸν
σημεῖον τοῦ σταυροῦ ποιήσας, εἰς τὴν θύραν τοῦ ἱεροῦ ἔφθασεν. καὶ εὐθὺς ἡ
οἰκοδομὴ σεισθεῖσα ἐκ θεμελίων κατέπεσεν. ἡ δὲ τῶν ξύλων κατασκευὴ ἀνα-
φθεῖσα κατεκάη ἀπὸ τῆς τοῦ σημείου δυνάμεως, ὁ δὲ καπνὸς τὸν ἀέρα ἐκάλυψεν.
καὶ πάντες οἱ δαίμονες, φυγάδες γενόμενοι, ἐνώπιον τῶν ἀνθρώπων φαντασίας
ἐποίουν, περιεσχισμένοι καὶ κοπτόμενοι, ἐν κραυγῇ μεγάλῃ καὶ κλαυθμῷ λέγοντες
Οὐαὶ ἡμῖν, οὐαὶ ἡμῖν, ὅτι ἀπὸ πάσης τῆς γῆς ἐφυγάδευσεν ἡμᾶς Ἰησοῦς ὁ υἱὸς
Μαρίας, καὶ ἐντεῦθεν διὰ τοῦ δεσμίου καὶ τεθνηκότος Γρηγορίου γέγονεν ἡμῖν 586
δίωξις. ποῦ οὖν φύγωμεν; ἡ γὰρ δόξα αὐτοῦ ἐπλήρωσε τὴν ὑπ' οὐρανόν. νῦν
οὖν ἐκχωρήσαντες ἀπέλθωμεν εἰς κατοίκησιν ἐν ὄρει Καυκασίῳ ἐν τοῖς | μέρεσι 101[2]
βορρᾶ, ὅπως ἐκεῖσε διασωθέντες ἡσυχάσωμεν. ἀπαύστως γὰρ κατὰ τὸν ἀέρα
πλανωμένους ποιήσας, διεχώρισεν ἀπὸ τῆς ἐπιμιξίας τῶν ἀνθρώπων, ὥστε μὴ
συντελέσαι δι' αὐτῶν τὰς ἐπιθυμίας ἡμῶν. ταῦτα δὲ ἔλεγον ἐκεῖνοι ἀκουόντων
πάντων.

11 Ephes 4, 13

9 ἐπάραι | 9 σκώλωψ | 19 ἀρτέμηδοσ | 21 vor ὀνειροδεικτῶν und nach σέβασμα m ein Kolon | 21 γραμματέοσ | 21 γνώσεισ hat über dem ει einen tadelnden Punkt | 21 ἱερέων· | 22 χαρτυλαρίων διὸσ· | 22 εὐμάθητος | 23 χειροσάμενοι | 26 δωράτων | 26 θυραιῶν | 27 ἀρτέμηδοσ | 28 λέλαπασ | 32 σεισθῆσα | 38 ὑπουνῶν | 41 πλανομένουσ | 41 διεχώρησεν

130 οἱ δὲ ἄνθρωποι περισσοτέρως ἐν τῇ πίστει ἑδραῖοι ἐγίνοντο. μελανο-
φανεῖς δὲ οἱ δαίμονες ὀφθέντες, ὡς καπνὸς ἀπὸ τοῦ τόπου ἐκείνου ἐξέλιπον.
πάντων δὲ καθελόντων τὸ ἱερὸν ἐκ θεμελίων, ἁρπαγὴ τῶν ἐκεῖσε θησαυρῶν γέ-
γονε, τοῖς δεομένοις καὶ πτωχοῖς, ὀρφανοῖς τε καὶ χήραις καὶ ἀπεριστάτοις δι-
ανεμηθέντων. τὴν δὲ περιοχὴν τοῦ ἱεροῦ μετὰ τῶν ὑπηρετῶν αὐτοῦ καὶ τῶν
587 ἱερῶν καὶ ἀρούρας ‖ καὶ ὁρίων εἰς δουλείαν τῆς ἐκκλησιαστικῆς ὑπηρεσίας ἀφώρι-
σαν. οὕτως δὴ πᾶσιν ὁ ἅγιος Γρηγόριος, σπείρας τὸν λόγον τῆς θεογνωσίας,
καὶ πάντας στήσας ἐν τῇ τοῦ Χριστοῦ ὁδῷ, ἐδίδαξε τὰς ἐντολὰς τοῦ κτίσαντος
αὐτοὺς θεοῦ, καὶ ἐν πάσαις ταῖς πόλεσι τῆς Ἀρμενίας καὶ ταῖς κώμαις καὶ χω-
102[1] ρίοις καὶ κωμοπόλεσιν ἀφώρισε τοὺς | τόπους τοῦ οἴκου τοῦ θεοῦ, μὴ καταβαλὼν
θεμέλιον ἐκκλησίας μηδὲ στήσας θυσιαστήριον, διὰ τὸ μὴ ἔχειν αὐτὸν τὴν τῆς ἱερω-
σύνης τιμήν. μόνον δὲ περιετείχιζεν τοὺς τόπους περιβόλῳ, καὶ τὸ δεσποτικὸν
σημεῖον τοῦ σταυροῦ ἐπήγνυεν ὡσαύτως ἐν εἰσόδοις καὶ ἐξόδοις, καὶ παρ' οἷς
πανταχοῦ ἐδίδασκεν τοῦτο τὸ σημεῖον πάντας ἔχειν καταφυγὴν πρὸς τὴν ἀπὸ τῶν
δαιμόνων ἐπέλευσιν, ἵνα καὶ ἀδιστάκτως ἐνώπιον αὐτοῦ προσκυνήσωσιν.

131 ἀπὸ τότε οὖν ἀρξάμενος, ἐκέλευσεν τὸ τῶν Ἀρσακιδῶν γένος κατὰ
588 σχολὴν πρὸς τὴν θείαν ‖ διδασκαλίαν γυμνάζεσθαι· ἐν ᾧ πρῶτος ἦν Τιριδάτιος ὁ
βασιλεὺς μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ οἱ λοιποὶ τοῦ αὐτοῦ γένους. σπου-
δὴν γὰρ ἐποιεῖτο οὕτως πᾶσαν ψυχὴν εἰς εὐθύτητα καὶ γνῶσιν ἀληθείας ἐνέγκαι,
καὶ ἐμπλῆσαι πάντων τὰς ἀκοὰς τῶν λόγων τοῦ ἁγίου εὐαγγελίου, καὶ ἀσφαλῶς
τὴν τῆς ζωῆς ὁδὸν παραδοῦναι, ὥστε πάντοτε αὐτοὺς ἔχειν ἐν τῇ καρδίᾳ κύριον
102[2] τὸν θεόν, αὐτόν τε προσκυνεῖν καὶ αὐτῷ μόνῳ λατρεύειν. | παραθέμενος δὲ αὐτοὺς
τῇ τοῦ θεοῦ χάριτι, αὐτὸς ἀναλαβὼν τὸν βασιλέα, ἐπορεύθη, ὅπως καὶ τοῖς ἄλ-
λοις μέρεσι τῶν ὁρίων τῆς Ἀρμενίων χώρας σπείρῃ τὸν λόγον τῆς ζωῆς. παρα-
γενόμενος δὲ ἔφθασε τὴν τῶν Δαραναλιτῶν πατρίδα, ἵνα κἀκεῖ τῶν ψευδωνύμων
589 θεῶν τὰ ἱερὰ καταστρέψωσιν. ἐλθόντες δὲ ἐν τῇ καλουμένῃ κώμῃ Θορδάν, ἐν
ᾗ ὑπῆρχεν ἱερὸν λεγόμενον λευκοδόξων δαιμόνων, βωμὸς Βαρσαμήνης, πρῶτον
τοῦτον καταστρέψαντες, τὴν εἰκόνα αὐτῆς συνέτριψαν, καὶ πάντας τοὺς θησαυροὺς
τοῦ χρυσοῦ καὶ ἀργύρου συλλέξαντες, διεμέρισαν τοῖς πτωχοῖς, τὴν δὲ κώμην
πᾶσαν σὺν ταῖς ἀρούραις καὶ ὁρίοις αὐτῆς εἰς ὄνομα ἐκκλησίας ἀφώρισαν, καὶ
τὸ ζωηφόρον ἐκεῖ σημεῖον ἔστησαν. ὁ δὲ μακάριος, εὐθέως τὴν εὐαγγελικὴν δι-
δασκαλίαν ἀναλαβών, ἤρξατο τὴν πατρίδα, συνευδοκοῦντος θεοῦ καὶ τοῦ βασι-
λέως, ἀφιστᾶν ἀπὸ τῶν πατρικῶν παραδόσεων, καὶ τὰς σατανικὰς καὶ δαιμονιώ-
103[1] δεις συνηθείας | τῇ ὑποταγῇ καὶ δουλείᾳ τοῦ Χριστοῦ προσφέρειν. καὶ ὅτε ἔσπει-
590 ρεν καὶ τούτοις τὸν λόγον τῆς ζωῆς, πάντας εἰς θεοσέβειαν ἄγων, μεγάλα παρὰ
τοῦ θεοῦ καὶ ταύτῃ τῇ πατρίδι σημεῖα γέγονεν. οἱ γὰρ δαίμονες ὀφθαλμοφανῶς
ἐν διαφόροις σχήμασι φυγάδες γενόμενοι, εἰσῆλθον εἰς τὰ μέρη τῶν Χαλτῶν.

45 ἐξέλειπον | 49 δουλίαν | 49 erstes ε (nicht der Lenis) von ἐκκλησιαστικῆσ erster Hand über was? etwa ι? | 49/50 ἀφόρησαν | 52 πάσαισ unterm Schreiben aus πᾶσι gemacht | 53 ἀφόρισε | 55 περιετείχηζεν | 56 ἐπίγνυεν | 58 προσκυνήσουσιν | 59 Ἀρσακιδῶν ℵ, σαρακινῶν m | 60 πρῶτον | 60 τηρηδάτιοσ | 62 ἐποιεῖτο· | 68 δαραλιστῶν | 68 ψευδονύμων | 69 καταστρέψουσιν | 70 Βασαμήνης B | 72 διεμέρησαν | 73 ἀφόρισαν | 79 πατρίδη

132 στηρίξας δὲ τοὺς πιστούς, ἐξελθὼν ἐπορεύθη εἰς ὀχυρότατον τόπον, καλούμενον Ιανί, βασιλικὸν οἶκον ἐν τοῖς κοιμητηρίοις τῶν τῆς Ἀρμενίας βασιλέων, κἀκεῖ κατέστρεψαν τὸν βωμὸν Κρόνου, τοῦ πατρὸς Διὸς παντοδαίμονος, καὶ τὸ δεσποτικὸν σημεῖον ἔστησαν. τὴν δὲ κωμόπολιν σὺν τῷ ὀχυρώματι εἰς δουλείαν ἐκκλησίας ἀφώρισαν. μετὰ δὲ ταῦτα εἰς τὴν ὅμορον πατρίδα, Ἐκελισηνὴν λεγομένην, ἀνῆλθον, κἀκεῖσε ἐφάνησαν δαίμονες ἐν τοῖς μεγάλοις ἱεροῖς τῆς Ἀρμενίας ἐν τοῖς τόποις τῶν σεβασμάτων, ὅπου ἦν ὁ βωμὸς τῆς Ἀρτέμιδος ἐν κωμοπόλει Ἔρηζ. ὡς γὰρ στρατιῶται μετὰ θυρεῶν συναχθέντες ἐμά‖χοντο, 591
καὶ ἀπὸ τῆς | κραυγῆς αὐτῶν τὰ ὄρη ἠχήσαντα ἐδόκει σείεσθαι. ἐκκεχωρηκότων 103²
δὲ τούτων τοῦ ἱεροῦ καὶ ἐκπεφευγότων, καταπεσὸν τὸ ἱερὸν μετὰ τοῦ ὑψηλοτάτου τείχους, ἐν τάχει ἠδαφίσθη. ὁ δὲ στρατὸς ἅμα Γρηγορίῳ καὶ τῷ βασιλεῖ τὴν χρυσῆν εἰκόνα τῆς Ἀρτέμιδος συνέτριψαν, καὶ τὸν τόπον παντελῶς καθελόντες, ἔλαβον τὸ χρυσίον καὶ τὸ ἀργύριον. κἀκεῖθεν περάσαντες τὸν Λύκον ποταμόν, κατέβαλον τὸν τῆς Ἀθηνᾶς βωμόν, θυγατρὸς Διός, ἐν τῇ κωμοπόλει Θισδίας, τοὺς δὲ θησαυροὺς ἀμφοτέρων τῶν ἱερῶν συνάξαντες, ἠφόρισαν εἰς ὑπηρεσίαν τῶν ἐκκλησιαστικῶν κειμηλίων μετὰ τῶν τόπων αὐτῶν. καὶ οὕτως ἀπὸ πολλῶν πατρίδων ἐξῆραν τὰ σκάνδαλα. κωφά τε καὶ χωνευτὰ καὶ γλυπτὰ εἴδωλα, βλαβερά τε καὶ ἀχρεῖα, πεποιημένα ἀπὸ τῶν ἀνοήτων καὶ ἐξεστηκότων ἀνθρώπων. 592

133 ὁ δὲ βασιλεὺς βεβαιωθεὶς ἐν τῇ πίστει, μετὰ μείζονος ἀπειλῆς καὶ ἐξουσίας ἐκέλευσεν ἀπὸ τῆς σατανικῆς καὶ μανιώδους τῶν δαιμόνων προσκυνή-
σεως | ἀποστῆναι τοῖς μέρεσιν ἐκείνοις καὶ ὑποταγῆναι τῷ γλυκυτάτῳ καὶ χρη- 104¹
στοτάτῳ ζυγῷ τοῦ Χριστοῦ. ταῦτα δὲ καὶ ἐνθάδε πεποιήκεισαν, καὶ τὴν τοῦ κηρύγματος χρείαν πληρώσαντες μετὰ πλείστων σημείων. οὐ τοσοῦτον δὲ ἡ ἀπειλὴ καὶ ἡ ἐπιτιμία τοῦ βασιλέως ἴσχυεν πρὸς τὸ πάντας πείθειν ἐν λόγοις ὅσον τὰ θαύματα τῶν διαφόρων ἰάσεων ἐδόξαζεν τὸ πανάγιον ὄνομα τοῦ Χριστοῦ. ταῦτα δὲ πάντα πέπρακται θελήματι καὶ φιλανθρωπίᾳ τοῦ θεοῦ διὰ τοῦ ἁγίου Γρηγορίου. ὁ οὖν βασιλεὺς ἐν πᾶσι τοῖς τόποις παραγενόμενος ἐγένετο ‖ κήρυξ ἐξ- 593
ομολογούμενος τὰς ἰδίας ἀσεβείας, καὶ τὰ παρὰ τοῦ θεοῦ γεγενημένα θαύματα πρὸς αὐτὸν καὶ τὸ ἔλεος καὶ τὴν ἴασιν μεγάλῃ τῇ φωνῇ ἀνεπαισχύντως διηγούμενος ἐπὶ πάντων. μετὰ δὲ ταῦτα ἔσπευδεν ὁ ἅγιος Γρηγόριος καταλαβεῖν καὶ τὴν τῶν Δερζανιτῶν πατρίδα, καὶ τὸ ἀποστολικὸν κήρυγμα κἀκεῖσε σπεῖραι, καὶ ἀποστῆσαι τῆς βδελυρᾶς τῶν δαιμόνων προσκυνήσεως | καὶ τῆς ἐφιαλτικῆς ἐνεργείας τὰ βαρ- 104²
βαρικὰ μέρη, καὶ εἰς τὰ μαθήματα τῆς θεϊκῆς σοφίας μεταβαλεῖν τὸ τραχύτατον ἔθνος καὶ περιφερόμενον ἐθνικαῖς ἀγωγαῖς, ὥστε πεπαιδευμένους καὶ γεγυμνα-

81 ὀχυρώτατον | 82 ἰανὶ mit ¨ über dem ersten ι: ein Unsinn, da es sich um Ani und die Praeposition ἰ handelt: ἰ später getilgt? | 85 δουλίαν | 85 für ω von ἀφώρισαν m Klex erster Dinte | 85/86 ἐκκλησίανὴν, worin der Acut später gestrichen ist, ἡν von erster Hand hinter dem Zeilenende steht: also ἐκκλησίαν m¹, ἐκκλησιανὴν m² erster Hand | 87 ἀρτέμηδοσ m², wo η von späterer Hand: ursprünglich ἀρτέμιδοσ | 88 θυραιῶν | 90 ὑψηλωτάτου | 92 ἀρτέμηδοσ | 94 ἀθήνασ | 95 ἠφόρισαν wagte ich bei dém Schriftsteller nicht in ἀφώρισαν zu ändern | 11 Δερζανιτῶν ℵ, ζερανιτῶν m: richtig, falls er als Dummkopf aus dem Syrischen übertrug: [illegible] konnte ein Genetiv sein | 11 κακεῖσαι, erster Hand ε über der Zeile | 11 letztes ι von σπεῖραι [so mit Acut] aus σ erster Hand, oder umgekehrt | 14 ἐθνηκαῖσ

σμένους ἐν τοῖς εὐαγγελικοῖς παραγγέλμασιν καὶ οἰκείους καταστῆσαι. ἔφθασεν
594 οὖν ἐν τῷ ἱερῷ Ἡφαίστου, λεγομένου υἱοῦ τοῦ Διός, ἐν κώμῃ λεγομένῃ Βαγααρὶζ
κατὰ τὴν τῶν Πάρθων γλῶσσαν, καὶ τοῦτο ἀπὸ θεμελίων κατέσκαψεν, τοὺς δὲ
ἀποκειμένους θησαυροὺς συλλέξαντες, τοῖς πτωχοῖς διένειμον. καὶ τὸν τόπον
τῇ ἐκκλησίᾳ ἠφόρισαν, καὶ ἐστήριξαν ἐν τῇ γνώσει τῆς ἀληθείας. καὶ ἀπὸ τότε
ἔσπευδεν τοὺς οἰκειοτάτους καὶ τοὺς μεγάλους τοῦ παλατίου καὶ ἐλευθέρους ἐν
γένει ἐν τῇ τοῦ θεοῦ σοφίᾳ παιδεῦσαι.
134 ὁ δὲ βασιλεὺς Τιριδάτιος σὺν τῇ βασιλίσσῃ Ἀσιχήνῃ καὶ τῇ ἀδελφῇ αὐτοῦ
Κουσαρωδούκτᾳ ἐκέλευσεν συναχθῆναι ὁμοθυμαδὸν τὰ στρατεύματα. οἱ δὲ διὰ τά-
105[1] χους εἰς τὴν ὡρισμένην ἡμέ|ραν παρεγένοντο εἰς Ἀραρὰτ τὴν πατρίδα καὶ Οὐαλε-
595 ροκτίστην τὴν πόλιν, ἔνθα καὶ ὁ βασιλεὺς ἐπορεύετο. καὶ συνήχθησαν μεγι-
στᾶνες καὶ φύλαρχοι καὶ τοπάρχαι καὶ οἱ ἐν ἀξιώματι ἔντιμοι στρατοπεδάρχαι
καὶ οἱ ἐπ' ἐξουσιῶν ἄρχοντες, σατράπαι τε καὶ ἐλεύθεροι, καὶ παρίστανται ἐνώ-
πιον τοῦ βασιλέως. συμβούλιον δὲ ἔλαβεν μετὰ πάντων ὁ βασιλεύς, σπεύδων
αὐτοὺς ἀγαθῶν ἔργων κληρονόμους γενέσθαι, καὶ φησὶν Δεῦτε τοῦτον ἐν τάχει
τὸν δοθέντα παρὰ τοῦ θεοῦ τῆς ζωῆς ἡμῶν ὁδηγὸν ποιμένα καταστήσωμεν τὸν
Γρηγόριον, ὅπως φωτίσῃ ἡμᾶς διὰ τοῦ βαπτίσματος, καὶ ἀνακαινίσῃ διὰ τῶν ζωη-
φόρων μυστηρίων τοῦ δημιουργοῦ ἡμῶν θεοῦ. ὁ δὲ Γρηγόριος οὐκ ἠβούλετο κα-
ταδέξασθαι τὴν τῆς ἀρχιερωσύνης τιμήν, Οὐκ εἰμι ἱκανός, λέγων, διὰ τὸ ἄπειρον
ὕψος τῆς θεότητος ταύτην βαστάξαι· ἀνεκδιήγητα γὰρ δωρήματα ὑπάρχουσιν ἀπὸ
τῆς τοῦ Χριστοῦ δόξης τῷ ἡγουμένῳ καὶ μεσίτῃ γινομένῳ θεοῦ καὶ ἀνθρώπων.
105[2] ἀλλὰ ζητήσα τε τὸν ἄξιον εἰς τοῦτο προχειρισθῆναι.
596 135 || τότε θεωρεῖ ὁ βασιλεὺς ὅραμα φοβερὸν παρὰ τοῦ θεοῦ ἀποδειχθὲν
αὐτῷ. εἶδεν γὰρ θεοῦ ἄγγελον λέγοντα αὐτῷ Δεῖ ὑμᾶς (φησί) τὸν Γρηγόριον
κληρῶσαι ἀνυπερθέτως ἐν τῇ τῆς ἱερωσύνης τιμῇ, ὅπως φωτίσῃ ὑμᾶς. ὡσαύτως
ἐφάνη καὶ Γρηγορίῳ αὐτὸς ὁ ἄγγελος λέγων Μὴ τολμήσῃς ἀντιστῆναι· παρὰ τοῦ
Χριστοῦ γὰρ ταῦτά σοι προστέτακται. καὶ εὐθέως καταδεξάμενος ἔφη Τὸ θέ-
λημα τοῦ κυρίου γενέσθω. τότε ὁ βασιλεὺς μετὰ πολλῆς χαρᾶς καὶ σπουδῆς
καὶ φόβου μεγάλου ἐφρόντιζεν. κελεύει οὖν τοὺς ἀρχηγοὺς τῶν σατραπῶν συγ-
καλέσασθαι καὶ τοπάρχας. καὶ πρῶτος ἄρχων Ἀγγελιτῶν οἴκου· ὁ δεύτερος
ἄρχων Ἀλσενῶν, ὁ τῆς κομιτατησίας· ὁ τρίτος ἄρχων ἐπὶ τῆς ἐξουσίας πατρί-
κιος λεγόμενος· ὁ τέταρτος ἄρχων ὁ τὸ διάδημα ἐξουσίαν ἔχων ἐπιδῆσαι τῷ
597 βασιλεῖ, ὁ λεγόμενος Ἀσπέ||των· ὁ πέμπτος ἄρχων στρατοπεδάρχης στρατηλατικῆς
106[1] ἐξουσίας τῆς Ἀρμενίων χώρας· | ὁ ἕκτος ἄρχων ὁ τῆς Κορδουΐτῶν χώρας· ὁ
ἕβδομος ἄρχων ὁ ἕτερος κομιτατήσιος· ὁ ὄγδοος ἄρχων τῆς Ῥουστινῶν χώρας·
ὁ ἔννατος ἄρχων ὁ τῆς κομίτων χώρας· ὁ δέκατος ἄρχων ὁ τῆς Συνιτῶν χώρας·

41 Matth 6, 10 Act 21, 14

16 ἡφέστου | 17 τοῦτο m[2], τούτω m[1] | 19 wie oben 67, 95 | 22 τηρηδάτιοσ | 23 ὁμοθυμαδῶν | 24 ὁ-ρισμένην | 30 ποιμαινα, erster Hand ε über der Zeile: Accent fehlt | 31 φωτίσει | 31 ἀνακαινίσει | 37 θεορεῖ | 38 ἴδεν | 39 φωτίσει | 45 κομητατησίασ m[1], später κωμητατησίασ m[2] | 49 κωμητατήσιοσ | 50 κωμη-τῶν | 50 συνιστῶν

ὁ δωδέκατος ἄρχων ὁ Σουδαίων χώρας· ὁ τρισκαιδέκατος ἄρχων ὁ τῆς Οὐ-
τίων χώρας· ὁ τεσσαρισκαιδέκατος ἄρχων ὁ ἐθνάρχης Ζαρουανδῶν καὶ Χερᾶς
τῆς πατρίδος· ὁ πέμπτος καὶ δέκατος ἄρχων ὁ τοῦ Μαλχαζιῶν οἴκου· ὁ ἑξ-
καιδέκατος ἄρχων ὁ Ἀρσουρουνῶν. οὗτοι οἱ ἄρχοντες οἱ ἐκλεκτοὶ τοποκράτορες,
πατριαρχικοί, χιλίαρχοι καὶ μυρίαρχοι ἐν μέσῳ τῆς Ἀρμενίων χώρας οἴκου Θορ-
γώμ, οὓς συναθροίσας ὁ βασιλεύς, ἀπέστειλεν εἰς τὰ μέρη Καπ‖παδοκίας εἰς 598
πόλιν Καισαραίων, κατὰ τὴν Ἀρμενίων διάλεκτον Μασὰχ λεγομένην, ὅπως ἀπελ-
θόντες τὸν Γρηγόριον ἀρχιερέα καταστήσωσι πάσῃ τῇ χώρᾳ.

136 ἑτοιμάσαντες δὲ τὰ πρὸς τὴν ὁδόν, καὶ γράμματα χαράξαντες τοῦτον
τὸν τύπον, ἀπέστειλαν. | ἴσον τῆς ἐπιστολῆς. Πάλαι ἀπολλύμενοι ἐν τῇ ἀγνοίᾳ 106[2]
τῶν ἁμαρτιῶν, ἐσκοτώθημεν ἐν πλάνῃ καὶ ἐν τῇ ὁμίχλῃ τῆς ἀθεότητος συγ-
κλεισθέντες, οὐκ ἠδυνήθημεν ἀναβλέψαι καὶ τὸν τῆς δικαιοσύνης ἥλιον κατα-
νοῆσαι. διὰ τοῦτο ἐν τῷ σκότει βορβορωθέντες, ἐμείναμεν τυφλοὶ τὴν ψυχήν.
ὅτε δὲ ἡ χρηστότης τοῦ ποιητοῦ θεοῦ ἐπεφάνη παιδεῦσαι καὶ φωτίσαι ἡμᾶς,
τὰ ἴδια ποιήματα, ἐξέλαμψεν τὰς ἀκτῖνας τοῦ ζωηφόρου φωτὸς εἰς τὰς καρδίας
ἡμῶν, καὶ ἐζωοποίησεν τὴν νεκρότητα ἡμῶν, πέμψας τοὺς ἀγαπητοὺς αὐτοῦ μάρ-
τυρας αὐτόθεν ἐν τούτοις τοῖς μέρεσιν. ‖ οἳ ἐλθόντες διὰ τῆς ἡμῶν ἀσυνεσίας τῆς 599
αὐτῶν ἀνδρειότητος καὶ ἀρετῆς, τὰ εὐφημότατα παλαίσματα εἰς τὴν τοῦ Χριστοῦ
ἀγάπην ἐπεδείξαντο. ὁ μὲν γὰρ δεσπότης αὐτῶν καὶ πρὸ τῆς πάλης τὴν αὐτῶν
ἄθλησιν ἠπίστατο ὁποῖοι ὑπάρχουσιν, ἀλλ' ἵνα καὶ ἡμᾶς τοὺς ἀνοήτους τὴν σο-
φίαν διδάξῃ. | ὅσον γὰρ οὗτοι τὸν δεσπότην αὐτῶν ἠγάπησαν, ὑπερβαλλόντως ἕνε- 107[1]
κεν τῆς ἐναρέτου αὐτῶν ἀθλήσεως κύριος ὁ θεὸς τὰ ἄμετρα θαύματα εἰργάσατο
εἰς αὐτούς. καὶ ἡμῖν μὲν μεγίστας τιμωρίας ἐπέθηκεν· τῷ βασιλεῖ ἡμῶν ἀλλα-
γὴν ἔθετο ἐν μορφῇ χοίρου, καὶ μετὰ τῶν ἀγρίων ζῴων νέμεσθαι ἐποίησεν. ἐ-
λεήσας δὲ ἡμᾶς ταῖς τῶν μαρτύρων αὐτοῦ πρεσβείαις διὰ τοῦ αὐτόθι παραγενο-
μένου καὶ μαρτυρήσαντος Γρηγορίου πάντας ἰάσατο. αὐτὸς γὰρ περισσοτέρως
μάρτυς εὑρεθείς, ἡμῖν παρὰ τοῦ θεοῦ ὁδηγὸς δέδοται, καὶ δι' αὐτοῦ τὰ ἀρχαῖα
ἤθη καὶ τὴν τῶν ματαίων σεβασμάτων εἰδωλομανίαν τὴν πατρικὴν ὁ θεὸς ἐξο- 600
ρίσας καὶ ἐκ μέσου ἀπάρας καθεῖλεν, καὶ ἐδίδαξεν ἡμᾶς τὰ μαρτύρια αὐτοῦ
καὶ τοῖς προστάγμασιν αὐτοῦ πορεύεσθαι, ὥστε καὶ φανερῶς τὸν θεὸν κελεύειν
ἡμᾶς τὸν αὐτὸν Γρηγόριον ποιμένα καὶ ἐπίσκοπον τῆς ἀληθείας λαβεῖν, ἔχοντα
τοὺς οἴακας τῆς ἡμετέρας χώρας.

137 | διὰ τοῦτο καὶ ἡμεῖς τεθαρρηκότες τῇ συμπνοίᾳ καὶ ἀντιλήψει τῶν 107[2]
ὑμετέρων εὐχῶν πεπόμφαμεν Λεοντίῳ τῷ ἀρχιεπισκόπῳ Καισαρείας καὶ πάσῃ
τῇ ἱερατικῇ τάξει τῆς αὐτῆς ἁγίας ἐκκλησίας ἐλέει Χριστοῦ καὶ εὐχαῖς ὑμετέ-
ραις τὸν ἀσπασμὸν γεγραφηκότες. Τιριδάτιος ὁ βασιλεὺς σὺν τῷ στρατεύματι τῆς
Ἀρμενίων χώρας καὶ Ἀσιχήνη βασίλισσα καὶ ἡ νεᾶνις μεγάλη Κουσαρωδούκτα.

64 Tit 3, 4

51 σουδέων | 51/52 σουτιῶν | 52 ν von ἐθνάρχησ erster Hand auf ο | 52 χεκρᾶσ | 54 ἀσουρουνῶν | 58 καταστήσουσι | 59 τοῦτον m[2], τούτ⟍ m[1] | 60 ※ ἴσον [so] τῆσ ἐπιστολῆσ ※ steht in kleinen Uncialen vor der Seite im Texte | 64 χρηστότισ | 66 νεκρώτητα | 67 Ende τοῖσ | 68 ἀνδριότητοσ | 70 ἐπίστατο | 77 εὑρεθεὶσ ἡμῖν, παρὰ | 79 ἐπάρασ | 86 τηρηδάτιοσ

διὰ τοῦτο ἀπεστείλαμεν πρὸς ὑμᾶς τοὺς μεγάλους καὶ ἐντίμους ἄρχοντας τῆς ἡ-
601 μετέρας μεγάλης χώρας, ἵνα διηγήσωνται ‖ ὑμῖν τὰ θαυμάσια τοῦ θεοῦ τὰ ἐν τῇ
χώρᾳ ταύτῃ πεπραγμένα ἡμῖν. ἐπέμψαμεν δὲ ἅμα αὐτοῖς καὶ τὸν ἁγιώτατον καὶ
μέγαν ὁμολογητὴν καὶ ζῶντα μάρτυρα τοῦ Χριστοῦ Γρηγόριον. καὶ ταύτην τὴν
προσηγορίαν γεγράφαμεν, ὅπως διὰ τῆς πνευματικῆς ἐπισκέψεως καὶ θεοδωρήτου
χάριτος τοῦ Χριστοῦ ἡμῖν τὸν αὐτὸν Γρηγόριον ποιμένα καὶ ἐπίσκοπον καὶ διδά-
σκαλον καὶ ὁδηγὸν τῆς θεϊκῆς πορείας καὶ πνευματικὸν ἰατρὸν καταστήσητε, καθ'
$108^{1}$ ὡς καὶ ἡμῖν παρὰ τοῦ θεοῦ προστέτακται, προσευ|χόμενός τε καὶ ὑπὲρ ἡμῶν, ὅ-
πως ἀξίους ἡμᾶς ποιήσῃ ὁ θεὸς τοῦ αὐτοῦ ἐλέους, ἀσφαλῶς ἀπὸ τοῦ νῦν πορεύ-
εσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἡ ὑμετέρα ἀγάπη καὶ ὁ ἀσπασμὸς ἐπικαταλάβοι
ἡμᾶς.

138 τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς τούτῳ τῷ τύπῳ ἐγράφη. καὶ ἑτοιμα-
σθέντες, ἔλαβον καὶ δῶρα ἐν ταῖς χερσὶν αὐτῶν, χρυσὸν καὶ ἄργυρον, ἵππους τε
602 καὶ ἡμιό‖νους καὶ πολυτελέστατον ἱματισμόν, κόσμια εἰς τὴν τιμὴν τῶν ἁγιωτάτων
ναῶν τοῦ θεοῦ ἔνθα ἐπορεύοντο. καὶ διαπερῶντες πανταχῇ τιμῆς, μεγάλης ἠξίουν
τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. ἀνεβίβασαν δὲ τὸν ἅγιον Γρηγόριον ἐν τῷ χρυ-
σεμπάστῳ ἅρματι, ἑλκομένῳ λευκαῖς ἡμιόνοις, καὶ πάντες οἱ ἄρχοντες μετ' αὐ-
τοῦ μετὰ τῶν ἁρμάτων καὶ ἵππων, ἕκαστος σὺν τῷ ἰδίῳ στρατεύματι, ἐξελθόντες
ἀπὸ Ἀραρὰτ τῆς πατρίδος καὶ Οὐαλεροκτίστης πόλεως, ἔφθασαν ἐν τοῖς ὁρίοις
Ἰωνίας, πολλὴν τιμὴν εὑράμενοι πανταχοῦ ἐν ταῖς πόλεσι, μετὰ πλείστης χαρᾶς
$108^{2}$ καὶ εὐφροσύνης προπεμπόμενοι. ἐ|πειδὴ ἀκούοντες ἦσαν ἅπαντες τὰ θαυμάσια τοῦ
603 θεοῦ καὶ τὴν γενομένην σωτηρίαν καὶ τὰς ἐπ' ὠφελείᾳ πορείας αὐτῶν. ‖ οὕτως
πανταχοῦ ὁδηγηθέντες, ἔφθασαν εἰς τὴν Καισαραίων πόλιν, καὶ ἐθεάσαντο ἐκεῖ
τὸν ἁγιώτατον καὶ καθολικὸν Λεόντιον καὶ πάντας τοὺς ἐκκλησιαστικοὺς χοροὺς
τῶν ἁγίων κληρικῶν καὶ τὰς ἀγγελικὰς καταστάσεις ἐν τῇ ἀσκήσει καὶ τῇ λει-
τουργίᾳ. καὶ ἀσπασάμενοι αὐτούς, διηγήσαντο τὰ γενόμενα παρὰ τοῦ θεοῦ. προ-
σήνεγκαν δὲ καὶ τὴν ἐπιστολὴν τοῦ βασιλέως τῷ ἁγιωτάτῳ ἐπισκόπῳ, ὅστις μετὰ
πλείστης χαρᾶς δεξάμενος σὺν πάσῃ τῇ πόλει ηὐφραίνετο. καὶ πάντες ἐπὶ τὸ αὐ-
τὸ ἑώρταζον πανηγυρικὴν ἑορτήν, τὸν δὲ ἅγιον Γρηγόριον ἀξίως ἐτίμησαν, κατὰ
τὴν ἐνάρετον αὐτοῦ ἄθλησιν καὶ τὸ μαρτυρικὸν στάδιον, ψαλμοῖς καὶ πνευματι-
κοῖς ᾄσμασι δοξολογοῦντες, καὶ τῶν ἀρχόντων δὲ τῆς πόλεως φιλοτίμως δεξαμένων
$109^{1}$ αὐτοὺς μετὰ σπουδαιοτάτης φροντίδος κατὰ τὸ χριστιανικὸν σπούδασμα. | οὕτως
604 ‖ παρὰ πάντων δεόντως ἐτιμήθησαν, καὶ μάλιστα διὰ τὸ ἀξίωμα τοῦ μαρτυρικοῦ
ὀνόματος.

139 μετὰ ταῦτα οὖν γίνεται σύνοδος ἐπισκόπων ἐν τῇ Καισαραίων πόλει, ἵνα
τὸν ἅγιον χειροτονήσωσιν, ὥστε ἐγχειρισθῆναι αὐτῷ τὴν τιμὴν τῆς ταπεινώσεως
καὶ ἀρχιερωσύνης τοῦ Χριστοῦ καὶ τὸ ὕψωμα τῆς ἀρχιερατικῆς δόξης τοῦ θεοῦ.
τὸ δὲ ἅγιον εὐαγγέλιον κατὰ τῆς κεφαλῆς αὐτοῦ κουφίσαντες, ἐπέθηκαν τὰς χεῖ-
ρας οἱ ἐν τῇ ἁγίᾳ συνόδῳ ἐπίσκοποι, ὧν πρῶτος Λεόντιος. λαβὼν οὖν τὴν ἐξου-

89 διηγήσονται | 94 πορίας | 96 ποιήσει | 99 ἐγράφει | 2 διαπερόντες, das ο jetzt nach unten hin verwischt | 9 ὠφελία | 16 ἑόρταζον | 19 σπουδαιωτάτης | 20 δὲ ὄντως | 23 χειροτονήσουσιν | 25 κουφίσαντος

σίαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δῆσαι καὶ λῦσαι κατὰ τὸ ῥητὸν τοῦ εὐαγγελίου, καὶ
τὰς κλεῖς τῆς βασιλείας τοῦ θεοῦ, προπέμπεται ὑπὸ τοῦ πλήθους τῶν ἐπισκόπων
ὁ ἁγιώτατος Γρηγόριος μετὰ πολλῆς τιμῆς καὶ γραμμάτων. ἐξελθόντες δὲ ἐκεῖ-
θεν ἐν τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔφθασαν τὴν Σεβαστη‖νῶν πό- 605
λιν, κἀκεῖσε καταμείναντες ἡμέρας οὐκ ὀλίγας, ἔπεισαν πλείονας τῶν εὐλαβεστά-
των ἀδελφῶν συνεξελ|θεῖν αὐτοῖς, ἵνα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος κληρώσῃ αὐ- 109[2]
τοὺς ἱερατικῷ κλήρῳ ἐν τῇ ἰδίᾳ χώρᾳ, καὶ πολλοὺς χοροὺς συμπαραλαβόντες ἐ-
πορεύοντο. φιλοτίμως δὲ παρὰ πάσης χώρας τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων
καὶ λαῶν ὑπεδέχοντο. ἐπὶ δὲ τῇ αὐτῶν πορείᾳ συνήγετο ὄχλος πολὺς τῶν λαῶν,
ὥστε ἰδεῖν τὸν ἅγιον ἀρχιεπίσκοπον Γρηγόριον, ἵνα εὐλογηθῶσι παρ' αὐτοῦ. καὶ
ἔλεγον πρὸς ἀλλήλους Δεῦτε ἴδωμεν τὸν ἅγιον Γρηγόριον· οὗτος γάρ ἐστιν ὁ ἄν-
θρωπος ὃς ὑπὲρ τοῦ παναγίου ὀνόματος τοῦ Χριστοῦ πολλὰς βασάνους ὑπομείνας,
ὁμολογητοῦ καὶ μάρτυρος κεκληρονόμηκεν ὄνομα. μετὰ δὲ ταῦτα παραλαβὼν
τὸ πλῆθος τῶν πειθομένων αὐτῷ ἀκολουθεῖν, ἅμα τοῖς σατράπαις συνταξάμενος,
καὶ παραδοθεὶς τῇ τοῦ Χριστοῦ χάριτι, διήνυσε τὸ μῆκος τῆς ὁδοῦ μετὰ πολλῆς 606
εὐοδώσεως καὶ πνευματικῆς χαρᾶς μέχρι τῆς ἰδίας χώρας.

**140** καὶ ὅτι ἔφθασεν τὰ ὄρη τῆς Ἀρμενίων χώρας, ἤκουσεν ὁ ἅγιος Γρη-
γόριος ὅτι Οὐαυήϊος βωμὸς κατελεί|φθη ἐν χώρᾳ Ταραυνῶν, βωμὸς πλουσιώτα- 110[1]
τος, μεστὸς ἀργυρίου καὶ χρυσίου. ἦν γὰρ ἐκεῖ πολλὰ ἀναθήματα μεγάλων βα-
σιλέων ἀποκείμενα· προσηγορεύετο δὲ ὁ βωμὸς ὀγδόου σεβάσματος, τοῦ εὐφημο-
τάτου δρακοντοπνίκτου Ἡρακλέους, τόπος θυσιῶν βασιλέων Ἀρμενίας μεγάλης
ἐν τοῖς Χαρχαρεῶν ὄρεσιν. ἦν δὲ ἐπάνω τοῦ ποταμοῦ Εὐφράτου κατ' ἔναντι τοῦ
μεγάλου ὄρους Ταύρου ὁ εἰρημένος τόπος, διὰ τὰς πολλὰς θυσίας πολύθυτος.
τοῦτο τὸ ἱερὸν ἔτι περιέστηκεν, τρεῖς βωμοὺς ἐν ἑαυτῷ ἔχον. ὁ πρῶ‖τος ἐλέγετο 607
Οὐαυήϊος, ὁ δεύτερος χρυσῆς μητρὸς χρυσογεννήτων θεῶν χρυσόκοκκος· χρυ-
σῆς μητρὸς τῶν δαιμόνων· καὶ ὁ τρίτος βωμὸς ἀστέρος θεῶν καὶ τῶν Ἡρακλέ-
ους ἐλέγετο κληθείς, κατὰ δὲ τοὺς Ἕλληνας Ἀφροδίτης. ὥρμησεν οὖν ὁ ἅγιος
Γρηγόριος, ἵνα καὶ τοῦτον καθέλῃ. ἔτι γὰρ ἀγνοοῦντες οἱ ἄνθρωποι ἐθυσίαζον ἐν
τοῖς καταλειφθεῖσιν βωμοῖς τούτοις.

**141** ἀναστρέφων δὲ ἀπὸ τῶν Ἰωνίας μερῶν ἔλαβεν ἐκ | τῶν λειψάνων τοῦ 110[2]
μεγάλου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου καὶ Ἀθηνογένους τοῦ μάρτυρος, καὶ
φθάσας κατ' ἔναντι τῶν βωμῶν παρὰ τὸν Εὐφράτη ποταμόν, ἐβούλετο ὁ ἅγιος Γρη-
γόριος ἀνελθεῖν ἔνθα οἱ βωμοί, ἵνα καθελὼν αὐτούς, μαρτύριον τοῖς λειψάνοις
ἀναστήσῃ. ὡς δὲ προσεπέλασαν τῷ Εὐφ ράτῃ ποταμῷ ἀπὸ τριῶν σταδίων, καὶ φά- 608
ραγγα μικρὰν ἔμελλον περᾶσαι ὕδωρ ὀλίγον ἔχουσαν, ἀπεστάθησαν αἱ ἐν τῷ ἅρ-
ματι λευκαὶ ἡμίονοι καὶ τὸν θεϊκὸν θησαυρὸν τῶν ἁγίων λειψάνων βαστάζουσαι,

27 Matth 16, 19

28 πλήθουσ unterm Schreiben aus πλῆθοσ | 30 σεβαστινῶν, wo σ später ich weiß nicht über was | 32 κληρώσει | 35 πορία συνίγετο | 37 ἴδομεν | 44 51 ὀυαυήϊοσ | 46 ωωμὸσ m[1], von erster Hand gebessert | 46/47 εὐφημμωτάτου | 50 ἔχων | 51 μρσ̄ · | 52 μρσ̄ | 52/53 ἡρακλέοσ | 53 ὅρμησεν | 54 καθελεῖ | 58 βωμὸν | 60 ἀναστήσει | 61 nach μικρὰν + ἢ

καὶ οὐκ ἠδύναντο παρελθεῖν τὴν φάραγγα. ἀποκαλυφθεὶς δὲ ἄγγελος κυρίου πρὸς
Γρηγόριον εἶπεν Εὐδόκησεν κύριος τὴν κατοίκησιν τῶν ἁγίων ἐν τῷ τόπῳ τούτῳ.
τοῦ δὲ πλήθους εὐθέως χεῖρα ὀρέξαντος, κατὰ πρόσταξιν Γρηγορίου ᾠκοδόμησαν
μαρτύριον, καὶ τοὺς ἁγίους κατέθεντο. ἔτι δὲ μελλούσης τελειωθῆναι τῆς οἰκο-
δομῆς, προσέταξεν Γρηγόριος τῷ στρατεύματι καὶ τοῖς ἄρχουσι τοῖς σὺν αὐτῷ,
111[1] ἵνα ἀνελθόντες μετὰ λαξευτηρίων καταβάλωσι τοὺς βωμούς. πολλὰ δὲ κοπιάσαν-
τες οὐκ ἴσχυσαν ἐξευρεῖν τὰς θύρας τοῦ ἱεροῦ ὥστε ἔνδον εἰσελθεῖν· οἱ γὰρ ἔν-
δον φαντασίας ποιήσαντες ἐκάλυψαν ταύτας. ἀλλὰ μὴν οὐδὲ ἔξωθεν ὁ σίδηρος ἥ-
609 ψατο τῆς οἰκοδομῆς. σπεύσαντες δὲ οἱ ἄρχοντες κατέβησαν διηγήσασθαι τῷ πα-
τριάρχῃ.

142 ἐξελθὼν οὖν ὁ ἅγιος, καὶ κατ' ἔναντι τοῦ λόφου σταθεὶς ἔνθα οἱ βω-
μοὶ ἦσαν, καὶ ποιήσας τὸ δεσποτικὸν σημεῖον, εἶπεν Ὁ ἄγγελός σου, κύριε ὁ θεός,
ἀποσοβήσει αὐτούς. ταῦτα δὲ αὐτοῦ εἰπόντος, σφοδρότατος ἄνεμος ἀπὸ τοῦ δεσπο-
τικοῦ σημείου οὗ ἐν τῇ χειρὶ ἐβάσταζε, πνεύσας, καὶ τὴν οἰκοδομὴν τῶν βωμῶν
τύψας, ἐκ θεμελίων κατέβαλεν, τῆς φάραγγος πλήρης ἐμπνεύσας, καὶ παντελῶς
ἐδαφίσας τὸν τόπον, ὥστε μηδὲ τὰ ἴχνη αὐτῶν ἀπὸ τότε φανῆναι, καὶ τοὺς λί-
θους δὲ μήκοθεν ἀκοντίσας. ἀλλ' οὐδὲ ὁ χρυσὸς καὶ ὁ ἄργυρος, ὁ πολὺς ἀπο-
κείμενος ἐν τῷ ἱερῷ, εὑρέθη, καὶ πλῆθος δὲ ἀνθρώπων ἐκ τῶν ἱερέων καὶ τῶν
111[2] | δεισιδαιμόνων ἐν τῷ τόπῳ ἐκείνῳ ἀπέθανον, μηδὲ τῶν ὀστῶν εὑρεθέντων. οἱ
δὲ ὄχλοι θεασάμενοι ἐπίστευσαν. καὶ εἶπεν πρὸς αὐτοὺς ὁ ἅγιος Γρηγόριος Θεω-
610 ρεῖτε πῶς ἐξέπεσον τὰ σκάνδαλα ὑμῶν· οὐδὲν γὰρ εἰσὶ || τὰ σεβάσματα τῶν ἐθνῶν.
νῦν δὲ δουλεύσατε τῷ κυρίῳ θεῷ ὑμῶν, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.
μετὰ δὲ ταῦτα ἀπελθὼν εἰς τὸν τόπον τοῦ ἱεροῦ, καὶ συνάξας τοὺς ἀνθρώπους,
ἐδίδασκεν τὴν θεογνωσίαν. καὶ κατέθεντο τὰ θεμέλια τῆς ἐκκλησίας ἐν αὐτοῖς
τοῖς τόποις, καὶ ἔστησεν θυσιαστήριον ἐν ὀνόματι τῆς δόξης τοῦ θεοῦ, ἐκεῖσε ἐν
πρώτοις ἀρξάμενος ἐκκλησιῶν οἰκοδομῆς καὶ καταστάσεως θυσιαστηρίων εἰς ὄνομα
τοῦ Χριστοῦ. καὶ ἑτοιμάσας λουτῆρας βαπτίσματος, πρῶτον τοὺς μετ' αὐτοῦ συ-
νοδεύσαντας μεγάλους σατράπας ἀπελθόντας, ἡμέρας δὲ εἴκοσι ἐν τῇ αὐτῇ πα-
τρίδι παραμείνας, ἐβάπτισε πλείους ἐννέα καὶ δέκα μυριάδας ἀνθρώπων. καὶ στή-
112[1] σας θυσιαστήρια ἐν τοῖς μαρτυρίοις τῶν ἁγίων τοῖς ὑπ' αὐ|τοῦ οἰκοδομηθεῖσιν
611 προσήνεγκεν προσφορὰς σωτηριῶν, καὶ τὸ ζωοποιὸν σῶμα καὶ αἷμα τοῦ Χριστοῦ
μετέδωκε πᾶσι. καὶ προσέταξεν ἐπιτελέσαι κατ' ἔτος ἐν τῷ τόπῳ ἐκείνῳ τὴν τῶν
μαρτύρων μνήμην ἑβδόμῃ τοῦ μηνὸς Σαομὶ κατὰ χώραν λεγομένου, κατὰ δὲ Ῥω-
μαίους Ὀκτωβρίου, ὅπως μετὰ πλείστης χαρᾶς συναχθέντες τὴν πανήγυριν ἐκεί-
νης τῆς ἡμέρας ἑορτάσωσιν, ἐπειδὴ ἐνταῦθα ἐκκλησίαν ἐν ἀρχῇ ᾠκοδόμησεν καὶ
θυσιαστήρια ἔστησεν καὶ ἱερέας ἐκλήρωσε τοῖς τόποις ἐκείνοις καὶ βαπτίσματα
ἐποίησεν.

143 ἔπειτα δὲ τὴν περίχωρον ἐπλήρωσεν ἐκκλησιῶν καὶ ἱερέων, αὐτὸς δὲ
ἀπάρας, ἐπορεύθη ἐκεῖθεν μετὰ τοῦ καυχήματος τοῦ σταυροῦ καὶ δυνάμεως τοῦ

75 σφοδρώτατος | 77 ἐνπνεύσας | 81 δισιδαιμόνων | 82/83 θεορεῖτε | 90/91 πατρίδη | 92 οἰκοδομηθῆσιν | 94 καθέτος | 95 σαομὴ | 96 ὀκτωβρίω | 97 ἑορτάσουσιν

Χριστοῦ, βαστάξας μέρος τῶν ἁγίων λειψάνων, ὥστε καὶ ἐν ἄλλοις τόποις οἰκο-
δομῆσαι μαρτύρια. ἐν πολλοῖς δὲ ἐπαρχίαις καὶ κωμοπόλεσιν καὶ χωρίοις ᾠκο-
δόμησεν ἐκκλησίας καὶ βαπτίσματα, καὶ ἱερέας ἔστησεν. ἀκούσας δὲ ταῦτα | ὁ μέ- $112^{2}$
γας βασιλεὺς Τιριδάτιος ὅτι κατέλαβεν τὴν τῆς Ἀρμενίας χώραν ὁ ἅγιος Γρη-
γόριος, || ἀναλαβὼν τὰ περὶ αὐτὸν στρατεύματα καὶ τὴν βασίλισσαν Ἀσιχήνην καὶ 612
τὴν ἀδελφὴν αὐτοῦ Κουσαρωδούκταν, ἐξῆλθεν ἀπὸ τῆς Ἀραρὰτ πατρίδος καὶ Οὐαλε-
ροκτίστης τῆς πόλεως εἰς ἀπάντησιν τοῦ ἁγίου ἀρχιεπισκόπου. καὶ παρεγένετο ἐν
πόλει Βαγαυάν, ἥτις καλεῖται διὰ τῆς τῶν Πάρθων γλώσσης κωμόπολις βωμῶν,
καὶ ἐν αὐτῇ παρέμεινεν μηνὸς ἡμέρας, καραδοκῶν αὐτόν. ὁ δὲ ἅγιος Γρηγόριος
περιῄει εἰς διάφορα μέρη, πληρῶν ἐκκλησιῶν καὶ ἱερέων καὶ βαπτισμάτων, φω-
τίζων πάντας διὰ πασῶν τῶν ἐκκλησιαστικῶν καταστάσεων. ἐλθὼν οὖν ἔφθασεν
τὴν πόλιν λεγομένην Βαγαυὰν μετὰ τῶν μεγιστάνων καὶ τοῦ ὄχλου ἀκολουθοῦν-
τος αὐτῷ ἀπὸ διαφόρων τόπων, οἳ καὶ ἰάσεως παρ' αὐτοῦ ἀπὸ νοσημάτων ἐτύγ-
χανον. αὐτὸς δὲ ἐν τῇ δαψιλεστάτῃ διδασκαλί||ᾳ πᾶσι περιέσπειρε τὸν λόγον τῆς 613
| ζωῆς σὺν τοῖς οὖσιν αὐτῷ ἐργάταις τοῦ εὐαγγελίου τοῦ Χριστοῦ, οὓς κατ' ὄνομα $113^{1}$
εἰπεῖν δυσθεώρητον. μετὰ τούτων οὖν ἐρχόμενος ὁ ἅγιος ἀρχιεπίσκοπος, πλήρης
τῆς τοῦ θεοῦ χάριτος, ἐπέρασεν παρὰ τὸ ὄρος τὸ λεγόμενον Ναπάτ.

**144** ὁ δὲ βασιλεὺς προκατελάβετο αὐτὸν σὺν τῷ στρατεύματι ἐπὶ τοῦ χεί-
λους τοῦ ποταμοῦ Εὐφράτου, ἐν δὲ τῇ συναντήσει πάντας ἐπλήρωσε θεϊκῆς χά-
ριτος καὶ εὐαγγελικῶν ἀσπασμῶν παραπλησίων τῶν τοῦ Χριστοῦ μαθημάτων. μετὰ
πολλῆς οὖν εὐφροσύνης καὶ χαρᾶς εἰς τὴν κωμόπολιν ὑποστρέψαντες, ἐκεῖσε προ-
σκομίζουσι τὰ εἰρηνοφόρα γράμματα. τούτῳ δὲ τῷ τύπῳ ἐγέγραπτο· Μαστιγω-
θέντες καὶ παιδευθέντες, τιμωρηθέντες καὶ ἰαθέντες, βασανισθέντες καὶ γυμνα-
σθέντες, ἀ||πολλύμενοι καὶ εὑρεθέντες, πλανηθέντες καὶ ἐπιστραφέντες, προσεδέ- 614
χθητε καὶ ἠγαπήθητε ὑπὸ τοῦ Χριστοῦ, σύ, Τιριδάτιος ὁ βασιλεὺς τῆς | μεγάλης $113^{2}$
Ἀρμενίας, καὶ Ἀσιχήνη βασίλισσα καὶ ἡ νεᾶνις μεγάλη Κουσαρωδούκτα, καὶ πᾶν
τὸ περὶ ὑμᾶς σύστημα, οἱ ἐκ ταύτης τῆς μεγάλης χώρας· Λεόντιος ἀρχιεπίσκο-
πος μητροπόλεως τῆς μεγάλης Καισαραίων, καὶ πᾶν τὸ ἱερατεῖον τῆς αὐτῆς ἁ-
γίας ἐκκλησίας καὶ τὰ συστήματα τῶν ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακό-
νων καὶ λαῶν, ἐν κυρίῳ χαίρειν· ἕνεκεν τῆς δοθείσης ὑμῖν παρὰ τοῦ θεοῦ σω-
τηρίας, καθ' ὡς ἡμῖν ἐμηνύθη, ἀμέτρῳ εὐφροσύνῃ ηὐχαριστήσαμεν ὑπὲρ τῶν χα-
ρισμάτων τοῦ Χριστοῦ, καὶ μάλιστα ὑπὲρ τῶν ἁγίων τοῦ θεοῦ μαρτύρων τῶν πρὸς
ὑμᾶς πεμφθέντων καὶ ἐν μέσῳ τῆς ὑμετέρας χώρας δοξασθέντων, ὧν ἀναθεω-
ροῦντες τὴν ἔκβασιν, τὴν πίστιν αὐτῶν μιμήσασθε, ἵνα δοξασθῆτε, τῷ αὐτῷ στε-
φάνῳ στεφανούμενοι. || ἐπειδὴ γὰρ ὁ τοῦ παντὸς δημιουργὸς πάντα ἐπραγματεύσατο, 615
ὅπως τὴν υἱοθεσίαν κλη|ρονομήσητε, ἰδίῳ θελήματι πάντας ἐπαίδευσεν, ἵνα καὶ $114^{1}$
παρακαλέσῃ τοὺς κεκμηκότας ἐν τῇ ἰδίᾳ βασιλείᾳ καὶ ἀναπαύσῃ τοὺς πεφορτι-

34 Hebr 13, 7 | 38 Matth 11, 28

3 ἐπαρχείαισ | 5 τηρηδάτιοσ | 9 βωμὸν | 11 περίη | 15 δαψηλοτάτη | 17 δυσθεόρητον | 18 ναπάτ | 23 εἰρη-
νόφορα | 26 τηρηδάτιοσ | 28 τῆσ ταύτησ | 31 δοθήσησ | 34/35 ἀναθεοροῦντεσ | 38 παρακαλέσει

σμένους (ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου εὐβάστακτον), πρὸς ἑαυ-
τὸν συνάγων καὶ διδάσκων, ἵνα τῆς ἰδίας ἀναπαύσεως πάντας ἀξίους ποιήσῃ.
**145** ἐπειδὴ γὰρ μὴ προφθάσαντες ὑμεῖς ἔγνωτε τὸ δέον, διὰ τοῦτο ἐπή-
νεγκεν ὑμῖν τὴν τῆς μάστιγος ῥάβδον, δι' ὃ ὡς ἔξυπνοι γενόμενοι εἴδετε τὴν σω-
φρονίζουσαν ὑμᾶς ἐπίσκεψιν, καὶ ὅτι τὰ ὑπὲρ τῶν ἀνθρώπων μὴ ἀνθρωπίνως ἐ-
πιγνῶτε, ἐνουθέτησεν ὑμᾶς ἀπανθρώπως. νῦν οὖν ὃν ἐν ἀγνοίᾳ παρωργίσατε, ἐ-
βεβαίωσεν ὑμᾶς ἐν τῇ ἀσείστῳ γνώσει. ὁ γὰρ λίθος ὁ ὑφ' ὑμῶν τῶν οἰκοδόμων
**616** ἀποδοκιμασθείς, οὗτος ἐγένετο ὑμῖν εἰς κεφαλὴν γωνίας. ὁ δὲ παροξυνθεὶς παρ'
ὑμῶν ἐν δάκρυσιν διαλλαγήτω. ὃν γὰρ καμμύσαντες τοὺς ὀφθαλμοὺς ἐλογίσασθε
114² εἰς τὸ σκότος, οὗτος ἀνοίξας τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν | ἐφώτισεν ὑμᾶς,
ἀπεκδυσάμενος ἀφ' ὑμῶν τὸ ἔνδυμα τῆς ἀθεότητος, καὶ τὴν φωτοφόρον στολὴν ἐν-
δυσάμενος. ὃν γὰρ καυχώμενοι ἐν τῇ ἀγνωσίᾳ ἠβούλεσθε ἀνελεῖν, οὗτος ὑμῖν σο-
φία καὶ γραμματεὺς τῆς ζωῆς ἐχαρίσθη. ταῦτα ἡμεῖς ἐγνωκότες, κατεπόθημεν
ἐν τῷ βυθῷ τῆς κυμαινούσης τοῦ Χριστοῦ ἀγάπης, καὶ ὑπερεθαυμάσαμεν τὰ ἀ-
κατάληπτα αὐτοῦ χαρίσματα, καὶ ἀκαταπαύστοις στόμασι καὶ ἀσιγήτοις γλώσσαις
τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἀγαθὸν καὶ θαυματοποιὸν καὶ δωροδότην,
ἐδοξάσαμεν, καὶ τῷ θεῷ τῷ παντοκράτορι εὐχαριστηρίους φωνὰς ἀνεπέμψαμεν.
**617** **146** ἐχαρισάμεθα δὲ καὶ τῷ αὐτῷ Γρηγορίῳ διὰ τῆς ἐπιφοιτήσεως ‖ τοῦ ἁ-
γίου πνεύματος τὰ ἄφθαρτα χαρίσματα, ἐν ᾧ καὶ ὑμεῖς καταξιωθῆτε δέξασθαι
τὴν εἰρήνην τῆς τῶν οὐρανῶν βασιλείας. ἡμῶν δὲ σώματι μὲν κεχωρισμένων, πνεύ-
ματι δὲ ἐγγιζόντων, μνημονεύσατε ἐν τοῖς νεοφοιτήτοις ὑμῶν προσευχαῖς καὶ τῆς
115¹ ἐπελθούσης σωτηρίας, μάλιστα ὅταν τὴν τῶν ἁγίων μνήμην | ἄγετε μετὰ τῆς ὑ-
μετέρας εὐφροσύνης. ἡ δὲ διαθήκη τῆς μαρτυρίας ἀνὰ μέσον τῶν ἀμφοτέρων
μερῶν εἰς τέλος διατηρηθείη, ὅτι αὐτὴ δι' αὐτῆς ἡ δωρεὰ εἰς ἀνακαίνωσιν τῆς
ἱερωσύνης τῆς ὑμετέρας χώρας διαμείνῃ ἀκίνητος ἐν τῇ τῶν Καισαραίων ἐκκλη-
σίᾳ, ἐξ ἧς καὶ ἡτοιμάσθη ὑμῖν τὴν ἀρχὴν ἡ δωρεὰ τῆς χειροτονίας, δι' ἧς καὶ
ὑμῖν τὰ ἀθάνατα βρώματα δωρεῖται τῆς παλιγγενεσίας ἐν τῷ σταυρῷ τοῦ δεσπό-
του καὶ ἐν τῷ σώματι καὶ τῷ αἵματι τοῦ ἐξιλασμοῦ τοῦ Χριστοῦ, καὶ ἡ μακα-
**618** ριότης ἡ θεϊκή, πληθυνθέντων τῶν ἱερέων, ἵνα ἀνενέγκῃ ὑμᾶς εἰς τὴν συνάφειαν
τῆς πνευματικῆς ᾠδῆς καὶ τὸν χορὸν τὸν ἐπουράνιον τῆς τοῦ Χριστοῦ στρατιᾶς.
ὑγιαίνοντες ἐν Χριστῷ πάντοτε ἀπολαύσετε τῆς τοῦ Χριστοῦ σωτηρίας.
**147** καὶ εὐφράνθησαν ἐν τῇ παρακλήσει τῆς ἐπιστολῆς, καὶ μάλιστα, ὅτι
ἥκασιν οἱ ὁδοιπόροι πεφωτισμένοι διὰ τῆς τοῦ θεοῦ κεχαρισμένοις ἀγαθοῖς. πλη-
ρώσαντες δὲ τὸν πνευματικὸν πόθον πρὸς ἀλλήλους καὶ περισσοτέρως ἐν τῇ πί-
115² στει στηριχθέντες, | μετὰ μείζονος προθυμίας προέκοπτον. ὁ οὖν ἅγιος Γρηγό-
ριος κατὰ τὸ σύνηθες αὐτοῦ σπουδαῖον εἰς ἔργον ἐνέβαλεν τὴν ἄπαυστον αὐτοῦ
διδασκαλίαν, συνευδοκοῦντός τε μάλιστα τοῦ εὐσεβεστάτου βασιλέως Τιριδατίου, τὴν

39 Matth 11, 30 | 45 Petr α 2, 7 Matth 21, 42 | 68 Ephes 5, 19 = Coloss 3, 16

39 das andere μου L, αὐτοῦ m | 44 παρωργήσατε | 45 ὑμῶν unterm Schreiben aus ἡμῶν | 46 παρωξυνθεὶς | 52 ὑπερθαυμάσαμεν | 62 müßte ἀνακαίνισιν sein, m wie ich herausgebe | 63 καισαρέων | 71 so | 75 τηρηδάτου [so]

τε ἰδίαν τέχνην προθέμενος, ἐπαίδευεν καὶ ἐνουθέτει. ᾧ ἐπὶ πλεῖον ὁ βασιλεύς
τε καὶ ὁ στρατὸς ὑπετάσσοντο κατὰ τὴν τοῦ θεοῦ διαταγὴν σὺν τῷ πλήθει πά-
σης τῆς χώρας. πάντων δὲ καταδεχομένων τὰ παρ' αὐτοῦ προστεταγμένα, τὸ **619**
προστεττόμενον ἐνεργητικῶς ἐπλήρουν. τότε παρακελεύεται τὸν βασιλικὸν οἶκον
ἅμα τῷ στρατεύματι τριάκοντα ἡμέρας νηστείαις καὶ προσευχαῖς σχολάζειν, καὶ
αὐτὸς συνήθως μετὰ τῶν ἰδίων, τῶν συνελθόντων αὐτῷ, ἐν ὁμονοίᾳ τὰς ἀσκήσεις
καὶ εὐχὰς καὶ ἀγρυπνίας καὶ δεήσεις μετὰ δακρύων ποιούμενος καὶ μετὰ σκλη-
ροτάτης διαγωγῆς τὴν καθολικὴν φροντίδα καὶ στεναγμοὺς ἀδιαλείπτως εἶχεν,
ὑπομιμνήσκων πάντας τὸ ῥητὸν τοῦ πνευματοφόρου προφήτου, | Ὅταν ἀποστρα- 116[1]
φεὶς στενάξῃς, τότε σωθήσῃ, φησίν. οὕτως φιλοπόνως ὑπέμεινεν ὑπὲρ τῆς κοινῆς
ὠφελείας, ὅπως πᾶσι σωτηρίας ὁδηγὸς γένηται. δι' ὃ καὶ ἐχαρίσθη αὐτῷ παρὰ
τοῦ παντοκτίστου θεοῦ τὸ πατρικὸν μέτρον, ἀναγεννῆσαι νέα γεννήματα καὶ θαυ-
μαστὰ διὰ τῆς δωρεᾶς τῆς τοῦ Χριστοῦ δεξιᾶς, πάντας ἐξ ὕδατος καὶ πνεύματος
ὡς ἀπὸ γαστρὸς διὰ τῆς παλιγγενεσίας ἄνωθεν ἀναγεννήσας καὶ τελειώσας καὶ **620**
καθαρίσας καὶ σφραγισάμενος εἰς λαὸν κυρίου κατέστησεν.

148 καταβεβληκὼς δὲ κἀκεῖσε θεμέλια, ᾠκοδόμησεν ἐκκλησίαν καὶ τὰ
καταλειφθέντα τῶν ἁγίων λείψανα ἐν τῷ τοῦ κυρίου οἴκῳ ἐναπέθετο, καὶ οὕτως
ἐν πάσῃ τῇ περιχώρῳ ἐθεμελίωσεν ἐκκλησίας, καὶ θυσιαστήρια ἀνωρθώσατο, καὶ
ἱερέας προεχείρισε, πάντων ἐπιστραφέντων ἐξ ὅλης καρδίας αὐτοπροαιρέτως, καὶ
προκοπτόντων ἐν νηστείαις καὶ εὐχαῖς καὶ φόβῳ θεοῦ. πληρωθείσης δὲ τῆς
νηστείας καὶ τῆς ὡρισμένης ἡμέρας, λαβὼν ὁ μακαριώτατος τὸ στράτευ|μα καὶ 116[2]
αὐτὸν τὸν βασιλέα καὶ Ἀσιχήνην τὴν βασίλισσαν καὶ τὴν μεγάλην νεᾶνιν Κουσα-
ρωδούκταν μετὰ τῶν λοιπῶν μεγάλων, ἀνιόντος ἡλίου κάτεισι παρὰ τὸ χεῖλος
τοῦ Εὐφράτου ποταμοῦ, καὶ ἐβάπτισε πάντας ὁμοῦ ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ
καὶ ἁγίου πνεύματος. ‖ καταβάντων δὲ τῶν ἀνθρώπων καὶ τοῦ βασιλέως ἐν τοῖς **621**
ὕδασι τοῦ Εὐφράτου ποταμοῦ, φοβερὸν καὶ παράδοξον ἐπεφάνη σημεῖον παρὰ τοῦ
θεοῦ· τὰ γὰρ ὕδατα ἐπὶ τόπῳ σταθέντα ἀνεκρούσθησαν, καὶ φῶς σφοδρότατον
φανὲν καθ' ὁμοίωμα στύλου φωτοειδοῦς ἔστη ἐπὶ τῶν ὑδάτων τοῦ ποταμοῦ, ἔνθα
ἐβαπτίζοντο, καὶ τὸ δεσποτικὸν σημεῖον ἐπάνω τοῦ στύλου. ἐπὶ τοσοῦτον δὲ ὑπε-
ρέλαμψεν, ὥστε καὶ τὰς ἀκτῖνας τοῦ ἡλίου κατακαλύπτειν καὶ μειῶσαι, καὶ τὸ
καταβληθὲν κατηχούμενον ἔλαιον ὑπὸ τοῦ ἁγίου Γρηγορίου ἐν τῷ ποταμῷ περι-
τρέχειν πανταχοῦ εἰς τοὺς βαπτιζομένους. πάντες δὲ θαυμάζοντες ὕψωσαν ὕμ-
νους εἰς δόξαν θεοῦ. καὶ περὶ τὴν ἑσπέραν τὸ σημεῖον ἀφανὲς ἐ|γένετο. αὐτοὶ 117[1]
δὲ ὑπέστρεψαν εἰς τὴν κωμόπολιν.

149 οἱ δὲ βαπτισθέντες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πλείους πεντεκαίδεκα μυριάδες
ἀνθρώπων μετὰ τοῦ βασιλικοῦ στρατεύματος ὑπῆρχον. ἐξελθόντες οὖν μετὰ ἀγαλ-
‖ λιάσεως καὶ λευκῶν ἐνδυμάτων καὶ ψαλμῶν καὶ ᾠδῶν πνευματικῶν καὶ κηρίων **622**

84 Isa 30, 15 | 88 Iohann 3, 5 | 12 Ephes 5, 19

84 ich habe zu ὑπομνημίσκων [B] meiner Abschrift aus m nichts angemerkt | 84/85 ἀποστραφῆσ | 85 σωθήσει | 94 προεχείρησε | 96 ὁρισμένησ | 2 σφοδρώτατον | 4/5 ὑπέρλαμψεν | 7 ὕψωσαν unterm Schreiben aus ὕφοσαν

καὶ λαμπάδων μετὰ πολλῆς ἱλαρότητος καὶ φωτισθέντες καὶ ἰσάγγελοι γενόμενοι
καὶ τῆς υἱοθεσίας τοῦ εὐαγγελίου ἐπιτυχόντες καὶ ὀσμὴν εὐωδίας τοῦ Χριστοῦ
ἀναπνέοντες, ἀνῆλθον εἰς τὸν δεσποτικὸν οἶκον. τότε ὁ ἀρχιεπίσκοπος, ἐπιτελέ-
σας τὴν λογικὴν λατρείαν, μεταδίδωσιν αὐτοῖς τὰ τῆς εὐχαριστίας μυστήρια,
διαμερίζων πᾶσι τὸ πανάγιον σῶμα καὶ τὸ τιμιώτατον καὶ ζωοποιὸν καὶ ζωηφόρον
αἷμα τοῦ πάντων σωτῆρος Χριστοῦ. δωρησάμενος δὲ τὰ θεόπνευ-
623 στα χαρίσματα, ἡσύχασεν ἐκεῖ ‖ ἡμέρας ἑπτὰ διὰ τὴν πνευματικὴν παράκλησιν.
117[2] ἐν δὲ ταῖς ἑπτὰ ἡμέραις ἐκείναις ἐβαπτίσθησαν ἀπὸ τῆς βασιλικῆς παρεμ|βολῆς
ἄνδρες τε καὶ γυναῖκες σὺν τοῖς παιδίοις, πλείους τετρακόσιαι μυριάδες. καὶ τὰ
μνημόσυνα τῶν ἐνεχθέντων μαρτύρων ἔταξεν εἰς τὴν μεγάλην πανήγυριν τῆς λε-
γομένης διαπομπῆς, τῆς ματαίως εἰς τιμὴν τῶν παλαιῶν σεβασμάτων γενομένης
ἀπὸ τῶν καιρῶν τῶν νέων εἰς τὰς ἀπαρχὰς τῶν καρπῶν, ξενοδεκτῶν θεῶν λε-
γομένης τῆς πανηγύρεως, ἣν ἐπιτελοῦσιν ἐν τῷ τόπῳ ἐκείνῳ εὐφραντικῶς ἀπὸ τῶν
ἀρχαίων καιρῶν ἐν ἡμέρᾳ τῆς πληρώσεως τοῦ ἐνιαυτοῦ. αὐτὴν οὖν τὴν ἡμέραν
ὡρίσατο ὁ ἅγιος, συναχθέντας ὁμοῦ ἑορτάζειν τὴν τῶν μαρτύρων ἡμέραν, Ἰωάν-
νου τοῦ βαπτιστοῦ καὶ Ἀθηνογένους τοῦ μάρτυρος ἐν ταύτῃ τῇ πόλει Βαγαυάν,
ἐν ᾗ καὶ ὁ μακαριώτατος τὴν διδασκαλίαν εἰς ἔργον ἐμβαλών, ἐπλήρωσε πνευ-
624 ματικῆς νουθεσίας τοὺς συνελθόντας, καὶ πλατυτέρως ἐξηγησάμενος, πάντας ἐχα-
ροποίησεν.

150 μετὰ ταῦτα δὲ ἐξελθὼν εἰς πάντα τὰ ὅρια Ἀρμενίων τῆς μεγάλης
118[1] χώρας, ᾠκοδό|μησεν ἐκκλησίας ἐν πάσαις ταῖς ἐπαρχίαις καὶ πατρίσι καὶ μέρε-
σιν, ἐν ταῖς πόλεσί τε καὶ κωμοπόλεσιν, κώμαις τε καὶ χωρίοις καὶ ἐποικίοις.
ὁμοίως δὲ καὶ ὁ βασιλεὺς ἐν πάσῃ τῇ αὐτοῦ ἐξουσίᾳ ἔταξεν τέσσαρας ἀρούρας
ἐν τοῖς χωρίοις, ἐν δὲ ταῖς κωμοπόλεσιν ἑπτὰ ἀρούρας εἰς ὑπηρεσίαν τοῦ ἱερέως,
ὥστε προσενέγκαι τὰς ἀπαρχὰς τῷ κυρίῳ. καὶ ἐν πᾶσι τοῖς τόποις στήσαντες
ἱερέας, ἐκέλευσαν κύριον τὸν θεὸν μόνον σέβειν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ
τὴν γῆν. καὶ τοὺς μὲν ὑπηρέτας καὶ λειτουργοὺς τῶν τοῦ κυρίου θυσιαστηρίων
625 ἐν πάσαις ταῖς ἐκκλησίαις. ἐκλήρου δὲ τούτους εἰς ἀνακεφαλαίωσιν τῶν λαῶν
κυρίου ὁ ἀρχιεπίσκοπος, παραγγέλλων αὐτοῖς διὰ πιστικωτάτης ὁδηγίας κυβερνᾶν
καὶ φωτίζειν τὸ τοῦ κυρίου ποίμνιον. ἔπειτα δὲ ἔπεισεν τὸν βασιλέα, ἵνα ἑκάστῃ
πατρίδι καὶ τόπῳ ἐν πᾶσι τοῖς μέρεσι συναγάγῃ παῖδας πρὸς διδασκαλίαν, τὸ
ἄγριον καὶ ἀνήμερον καὶ ἐφιαλτικὸν ἦθος ἐξημερῶν. ὅπερ καὶ πεποίηκεν, ἐμ-
118[2] βαλὼν | αὐτοὺς ἐν τῷ χωνευτηρίῳ τῆς πνευματικῆς παιδεύσεως καὶ ἀγάπης, τὸν
ἰὸν καὶ ῥύπον καὶ δυσωδίαν τῶν δαιμόνων ἐκκαθαίρειν καὶ ἀποξῦσαι θέλων. καὶ
οὕτω διεχώρισε τὰς ψυχὰς αὐτῶν ἀπὸ τῶν ματαίων καὶ πατρικῶν σεβασμάτων,
ὥστε εἰπεῖν αὐτοὺς Ἐπελαθόμην τοῦ λαοῦ μου καὶ τοῦ οἴκου τοῦ πατρός μου.

151 παρακελεύεται οὖν ὁ βασιλεὺς Τιριδάτιος κατὰ τόπους τῶν ὁρίων τῆς

14 Ephes 5, 2 Phil 4, 18 | 16 Rom 12,1 | 48 Psalm μδ 11

18 der weiße Raum dankt einer „Hochzeit" sein Dasein: zu ändern war unmöglich, da die Zeilen weit hinaus schon gezählt waren: Zeile 31 gab nichts her | 24 ξενοδέκτων | 27 ὁρίσατο | 33 πατράσι | 34 ἐπ᾽οικίοις | 35 τέσσαρις | 40 so | 49 τηρηδάτιος

Ἀρμενίας ἐν τῇ ἰδίᾳ ἀπὸ χωρῶν καὶ πα||τρίδων πλῆθος νεολαίας παίδων εἰσφέ- 626
ρειν ἐπὶ τοῦ γυμνάσαι αὐτούς, πιστικοὺς διδασκάλους ἐπιστήσας. ἐπαίδευσε δὲ
μάλιστα τὸ γένος τῶν δεισιδαιμόνων ἱερέων, καὶ τούτους ἐν τοῖς ἐπιτηδείοις τό-
ποις συνάξας, τὰ πρὸς τὴν ἀναγωγὴν ἐκέλευσε χορηγεῖσθαι, διαμερίσας ἐν δυσὶ
χωρίοις τοὺς παιδευομένους, ὥστε τοὺς μὲν ἐν τῇ σύρᾳ διαλέκτῳ, τοὺς δὲ ἐν
τῇ ἑλληνικῇ παιδευθῆναι. δι' ὃ παραυτίκα οἱ ἀγριογνώμονες καὶ ἀμεριμνόβιοι
καὶ κτηνόφρονες ἄνθρωποι προφητικόγνωστοι καὶ ἀπο|στολικομαθεῖς καὶ εὐαγ- 119[1]
γελικῶν ῥημάτων κληρονόμοι ἐγίνοντο. οὕτως γὰρ ἰχνηλατήσας πᾶσαν τὴν θεϊ-
κὴν παράδοσιν, ἐν οὐδενὶ ἀμοίρους αὐτοὺς ἀπέδειξεν. ἔφθασεν οὖν καὶ ἐν τοῖς
πρώτοις μέρεσιν ὁ ἀρχιεπίσκοπος ἐν τῇ Ἀραρὰτ πατρίδι καὶ Οὐαλεροκτίστῃ τῇ πόλει,
ἔνθα ἡ θεϊκὴ ἀπειλὴ ἤρξατο, ὅπου καὶ αὐτὸς τὸ δεσποτικὸν σημεῖον ἔστησε, καὶ
|| οἱ μάρτυρες τοῦ θεοῦ τελειωθέντες κατετέθησαν. ἀνωρθώσατο οὖν ἐκεῖ θυσιαστή- 627
ριον τοῦ θεοῦ ἐν τοῖς κοιμητηρίοις, καὶ τὸν περιτειχισθέντα τόπον τοῦ οἴκου τοῦ
θεοῦ ἐξεδωμάτωσεν, τὸν πρὸ πάντων ἀποδειχθέντα αὐτῷ διὰ τῆς θείας ὁράσεως.

152 οὕτως καὶ ἐν τοῖς τόποις τῶν ἱερῶν ἐν ἀρχῇ καθαιρεθέντων ἐν Ἀρτα-
ξὰτ τῇ πόλει καὶ τοῖς λοιποῖς τόποις καὶ χώραις καὶ πατρίσιν, ἐπλήθυνεν ἐκκλη-
σίας καὶ ἱερέας κατέστησεν. καὶ σημειοχρίστους πάντας πεποιηκὼς καὶ πνευμα-
τοφόρους, προσήνεγκε τῷ θεῷ. καὶ ἐν πάσῃ τῇ | χώρᾳ τῆς Ἀρμενίας ἀπ' ἄκρου 119[2]
ἕως ἄκρων διέτεινε τὴν ἐργασίαν τοῦ εὐαγγελικοῦ κηρύγματος, ἀπὸ Σαταλῶν τῆς
πόλεως μέχρι τῆς χώρας Χάλτων καὶ Κα||λαρσῶν, ἕως ὁρίων Μασαχουτῶν Οὔν- 628
νων καὶ πυλῶν Κασπίων καὶ μερῶν Ἀλανῶν καὶ Φατακαρανῆς πόλεως Ἀρμενίας
βασιλέων. καὶ ἀπὸ τῆς τῶν Ἀμιδηνῶν πόλεως μέχρι Νισίβεως παρὰ τὰ ὅρια τῆς
Συρίας ἕως Νορσιράκων γῆς καὶ Κορδουϊτῶν καὶ τῆς ὀχυρωτάτης χώρας τῶν
Μήδων καὶ τοῦ οἴκου Μαχούρτων τοῦ ἄρχοντος καὶ μέχρι Ἀτραπατακάν, ἥτις
καλεῖται πυροσχωρία κατὰ τὴν περσικὴν γλῶτταν, ἐξέτεινε τὸ εὐαγγελικὸν κή-
ρυγμα, θέρους καὶ χειμῶνος, ἡμέρας καὶ νυκτός, ὁ ἄοκνος ἐν τῇ ἀποστολικῇ
αὐτοῦ πορείᾳ καὶ εἰρηνοφόρῳ βαδίσματι ἐπὶ βασιλέων καὶ ἀρχόντων καὶ ἐθνῶν
ἀφόβως τὸ πανσωτήριον ὄνομα τοῦ κυρίου ἐπὶ στόματος φέρων, πᾶσαν ψυχὴν
χριστοφόρον εἰργάσατο.

153 || καὶ πολλῶν δε|σμίων καὶ πεφυλακισμένων ἀπὸ τυράννων σωτηρίας 629 120[1]
πρόξενος γέγονεν, ἐκσπάσας ἀπὸ τῶν χειρῶν αὐτῶν τῇ δυνάμει τῆς τοῦ Χριστοῦ
δόξης τῆς ἐν αὐτῷ ἐνοικούσης. πολλῶν δὲ καὶ τὰ ἄδικα γραμμάτια περισχίσας,
ἐγένετο παράκλησις τοῖς πενθοῦσι καὶ ὀλιγοψύχοις, καὶ διὰ τῆς θεϊκῆς διδασκαλίας
τὴν προσδοκωμένην ἐλπίδα τῆς ἐπιφανείας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ ἐν τῇ ἑκάστου ψυχῇ ἐναπέθετο. πάντας οὖν οὕτως μετὰ προθυ-
μίας εἰς τὴν θεογνωσίαν μετήνεγκεν ἀπὸ τῆς ἀρχαίας αὐτῶν παραδόσεως. πολ-
λοὺς δὲ ἀναριθμήτους χοροὺς τῶν μοναστῶν ἐν ἀοικήτοις τόποις καὶ χωρίοις
καὶ κωμοπόλεσι, τὴν ὀρεινήν τε καὶ πεδιάδα οἰκοῦντας στηλίτας καὶ ἀποκλείστους

50 νεολέασ | 59 πατρίδη | 63 ἐξωδωμάτωσεν | 65 χώρεσ m[1], αι von erster Hand über der Zeile | 65 πα-τράσιν | 66 σημειοχρήστουσ | 69 χαλτῶν | 69 μασαχοῦτῶν | 69/70 ὄυννων | 70 φατὰ καρανῆσ | 71 ἀμηδηνῶν | 71 νισιβέωσ | 72 νοσικάρων | 73 wohl μαχοὺρ τῶν in m gemeint | 74 wirklich πυροσχωρία | 81 γραμματία | 87 ὀρινὴν | 87 σπηλίτασ

κατέστησεν. τινὰς δὲ καὶ δεισιδαιμόνων ἱερέων παῖδας δεξάμενος ἐνώπιον αὐτοῦ
$120^{2}$ 630 ἀνάγειν ἐποίει, σπουδὴν πνευματικοῦ μαθήματος ἐπιτιθέμενος, | ‖ παραγγείλας μετὰ φόβου διάγειν αὐτούς· ἐξ ὧν καὶ εἰς τὴν ἐπισκοπικὴν τιμήν τινες ἀξιωθέντες παρ' αὐτοῦ χειροτονοῦνται. ὁ πρῶτος Ἀλβῖνος καλούμενος, ὅστις τοῖς μέρεσιν Εὐφράτου τοῦ ποταμοῦ ἐπέστη διδάσκαλος. ὁ δὲ δεύτερος Εὐθάλιος, τοῖς μέρεσι Βασηνῶν κατασταθεὶς ποιμήν. ὁ τρίτος Βάσσος, ὁ τέταρτος Μωϋσῆς, ὁ πέμπτος Εὐσέβιος, ὁ ἕκτος Ἰωάννης, ὁ ἕβδομος Ἀγάπιος, ὁ ὄγδοος Ἄρτιος, ὁ ἔννατος Ἀρσύκης, ὁ δέκατος Ἀντίοχος. αὐτοὶ ἐκ τῶν ἱερέων υἱῶν ἐξελέχθησαν γενέσθαι ἐπίσκοποι ἐν διαφόροις μέρεσιν, ὥστε εἰς αὔξησιν φέρειν τὸ κήρυγμα. τῶν δὲ λοιπῶν τὰ ὀνόματα δυσθεώρητα, εἰ καὶ βουληθείη τις ἐξειπεῖν.

**154** τὸν δὲ Ἀλβῖνον, ἄνδρα ἀληθινὸν καὶ θεοφιλέστατον, ἐν τῷ παλατίῳ
$121^{1}$ 631 τοῦ βασιλέως ἐπιστάτην ἔταξεν, καὶ αὐτὸς κατὰ καιροὺς | ἐν τοῖς ἀβάτοις ὄρεσιν ἦγεν σχολήν, τύπος ἐν παντὶ καὶ πᾶσι γινόμενος. παραλαμβάνων γὰρ τινὰς ἐκ τῶν μαθητευθέντων τῶν μοναστηρίων, ἀνήει εἰς τὰ ὄρη ἰδιαζόντως, ἐν σχίσμασι πετρῶν καὶ σπηλαίοις τὴν ἡμερούσιον τροφὴν ἀπὸ τῶν βοτανῶν ἐπιτηδεύων. καὶ οὕτως φιλοπόνως τῇ καταπονήσει τοῦ σώματος ἑαυτοὺς ἐκδεδωκότες, προσεῖχον τῇ παρακλήσει τοῦ ἀποστολικοῦ ῥητοῦ Ὅταν ἀσθενῶ διὰ Χριστόν, τότε δυνατός εἰμι. καὶ πάλιν λέγων τινὶ ῥητῷ Εἰ δεῖ με καυχᾶσθαι, ἐν τῇ ἀσθενείᾳ μου καυχήσομαι, ἵνα οἰκήσῃ ἐν ἐμοὶ ἡ δύναμις τοῦ Χριστοῦ. τότε οὖν προέκειτο αὐτοῖς οὐ μεθύσκεσθαι οἴνῳ, ἀλλὰ πληροῦσθαι ἁγίῳ πνεύματι, καὶ τὰς καρδίας ἑτοιμάσαι εἰς ᾠδὰς καὶ ὕμνους πνευματικοὺς εἰς δόξαν καὶ ἔπαινον τοῦ θεοῦ. ἐκεῖ ἦν γυμνασία τῆς γλυκυτάτης διδαχῆς τῶν θείων καὶ πνευματικῶν ἀναγνωσμάτων,
$121^{2}$ 632 ἐκεῖ θάρ‖σος καὶ προτροπὴ τῆς | φωτοφόρου διδασκαλίας, εἰς τὸ ἔμπροσθεν ἐπεκτείνεσθαι ἐν τῷ τοῦ Χριστοῦ σταδίῳ, ἐκεῖ ζέειν τῷ πνεύματι ἐν τῇ τοῦ θεοῦ δουλείᾳ, ἐκεῖ εὐχαὶ ἄπαυστοι καὶ δεήσεις ἀπαράληπτοι καὶ δάκρυα εἰρήνην φέροντα ἀπὸ τῆς φιλανθρωπίας τοῦ θεοῦ, ὑπὲρ τῆς κοινῆς ζωῆς γινόμενα, ὥστε διαλλαγῆναι τὸν πάντων ποιητήν. ἐν ταύταις οὖν ταῖς διαγωγαῖς διανύων ἡμέρας πολλὰς ἐν ἀβάτοις τόποις, ἐν ταῖς ἀρχαῖς τοῦ Εὐφράτου ποταμοῦ, ἐν σπηλαίοις καὶ σχίσμασιν ὀρέων καὶ ἀκρωρείαις οἰκῶν, καὶ τὸν τύπον ἀναδεξάμενος τοῦ μεγάλου προφήτου Ἡλίου καὶ τοῦ παναγίου Ἰωάννου τοῦ βαπτιστοῦ, καλῶν ἔργων χαρακτὴρ ἐγένετο,

**155** τούτων βίον ἑαυτῷ ἐπιτεθεικὼς καὶ τῇ θεϊκῇ ἐμπορίᾳ πλουτίζων. ποτὲ
633 δὲ καὶ κατέβαινεν περιελθεῖν καὶ ἐνισχῦσαι τοὺς μα‖θητευομένους ἐν τῇ ἀληθείᾳ, διαφόρων καὶ ψυχωφελῶν πραγμάτων πάσαις ταῖς ἐκκλησίαις ἀντιλήψεις δωρού-
$122^{1}$ μενος διὰ τῆς τοῦ θεοῦ χάριτος ἀνυ|περθέτως. διὰ παντὸς δὲ παριστάμενος τοῖς τόποις, διὰ τῆς θεϊκῆς κυβερνήσεως πάντας προθυμοτέρους καὶ αὐτοπροαιρέτους ἐποίει, ἐν ἀπαύστῳ στόματι τὴν ἀέναον διδασκαλίαν εἰς τὰς καρδίας πάντων

4 Corinth β 12, 10 | 5 Cor β 12, 9 | 8 Ephes 5, 19 | 10 Philipp 3, 14 | 11 Rom 12, 11

90 ἐπισκοπηκὴν | 91 ἀλβήνους | 94 ἐυσέβειοσ | 97 δυσθεόρητα | 98 ἀλβῆνον | 1 ἀνείη | 3 ἐκδεδοκότες | 6 οἰκήσει | 7 μεθύσκεσθε | 8 Ende 10 Anfang ἐκείνη | 16 ἀκρωρίαις | 17 ἡλιοῦ | 18 Ende das Komma von mir, lies auf 19 hinüber | 19 ἐπιτεθηκὼσ | 19 ἐμπορεία | 24 ἐποίη

σπείρων, λιπαρὰν γῆν καὶ γόνιμον ἀπεδείκυεν τὰς ψυχὰς αὐτῶν. ταῦτα ἐν πᾶσι
τοῖς καιροῖς ἔπραττεν ἕνεκεν τῆς ἑαυτοῦ ψυχῆς καὶ πάσης τῆς χώρας. συνήθως
γὰρ οἱ ἀληθινοὶ διδάσκαλοι τὰς ἀρετὰς αὐτῶν κανόνα τοῖς μαθητευομένοις ἐκ-
τίθενται, δηλαδὴ ὑπομιμνήσκοντες τὸ δεσποτικὸν ῥητὸν ὃ περὶ τοῦ μόνου καὶ
ὄντως σοφοῦ Ἰησοῦ Χριστοῦ λέγει Ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν.
αὐτὸς γὰρ πολλάκις κατ᾽ ἰδίαν τοὺς μαθητὰς λαβών, ἀδιαλείπτως τύπος αὐτοῖς
ἐγίνε||το, ὅτε καὶ τὸν μακαρισμὸν τῆς δωρεᾶς παρεῖχεν ἐν τῷ ὄρει, καὶ πάλιν ἐν **634**
αὐτῷ τῷ ὄρει τὴν κανονικὴν εὐχὴν παρεδίδου, καὶ πάλιν ἐν ταῖς ἡμέραις τῶν
ἀζύμων ἐν τῇ νομίμῳ πανηγύρει τὰς νυκτερινὰς εὐχὰς τρίτον ἐν τῷ ὄρει τῶν
ἐλαιῶν κατ᾽ ἰδίαν προσέφερεν. ὅθεν δηλαδὴ οὐχ ἑαυτοῦ ἕνεκεν ὁ πάν|των δε- 122²
σπότης, ἀλλὰ πρὸς καθολικὴν διδαχὴν τοῦτο ἔπραττεν, καὶ ἐγίνετο τύπος πᾶσι
τοῖς ὑποτεταγμένοις. δι᾽ ὃ φάσκων ἔλεγεν Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ
εἰσέλθητε εἰς πειρασμόν.

156 ἀλλὰ νῦν οὔποτε τῶν κουφοτέρων τεχνῶν τῆς γνώσεως ἐπιτύχοιεν,
ὥστε μετὰ τῶν θεολόγων συνταχθῆναι, περὶ ἧς ὁ Παῦλος || φησὶν ὅτι Τὸ πνεῦμα **635**
ἐν τῇ κατὰ τὴν διάνοιαν θεωρίᾳ στεναγμοῖς ἀλαλήτοις ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν,
ἐπιστάμενος τὰς τοῦ πνεύματος τοῦ ζωοποιοῦ ἐνεργείας, πρὸς τὸ ἔργον καὶ τὴν
γνῶσιν εὐθύνοντος ἡμᾶς, κατὰ τὸν τύπον τοῦ κυρίου εἰπόντος καὶ διδάξαντος καὶ
τοιούτους ἡμᾶς εἶναι, ὥστε εἰδέναι τὴν πρεσβείαν τοῦ ἁγίου πνεύματος εἰς τὸ
ὑπὲρ ἀλλήλων ἡμᾶς ἐντυγχάνειν τῷ θεῷ. τὸ δὲ ὕψος τῆς πρεσβείας τοῦ μονο-
γενοῦς καὶ τοῦ ἁγίου πνεύματος παρὰ πᾶσιν ἠγνόηται. μία γὰρ ἐστὶν ἡ τιμὴ
τῆς θεότητος, καὶ οὐ διάφορος. δεξάμενοι οὖν τὴν ἀληθινὴν διδασκαλίαν, πρῶ-
τον ἑαυτοῖς τὴν ὠφέλειαν, ἔπειτα καὶ τοῖς μαθητευομένοις βαστάζοντες ἔφερον,
ποτὲ μὲν ἰδια|ζόντως, ποτὲ δὲ καὶ μετὰ τῶν συναχθέντων, τὴν τοῦ Χριστοῦ δόξαν 123¹
ὑψώσαντες. ὠφελιμώτατον γὰρ ὑπάρχει ἀπὸ πάντων τῶν κοσμικῶν περισπασμῶν **636**
ἡσυχίαν ἄγειν καὶ ἰδιάζειν. τοῦτο γὰρ καὶ οἱ προφῆται πρότεροι εἰργάσαντο, οἱ
ἐν τοῖς ὄρεσι καὶ ἐν ἐρήμοις καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῶν πετρῶν τῆς θεϊ-
κῆς διαγωγῆς τὴν δουλείαν πληροῦντες κατὰ τὸ ἀποστολικὸν ῥητόν. ὡσαύτως
δὲ καὶ πάντες οἱ πατέρες οἱ διαδεξάμενοι ἀπὸ τῶν ἀποστολικῶν κανόνων τοῖς
μετέπειτα τύποι ἐγένοντο. ὅθεν καὶ ὁ μακάριος οὗτος ἔφερεν ἐν ἑαυτῷ τὰς πα-
ραδόσεις, καὶ ὁμοίως πᾶσι παρεδίδου, τὴν ἐντολὴν παραγγέλλων, λιπαροὺς καὶ
εὐπρεπεῖς ἐν τοῖς θεϊκοῖς θησαυροῖς πάντας ἐργαζόμενος.

157 κατὰ καιροὺς δὲ ἐφιστάμενός τισι τόποις, εἰς τὴν αὐτὴν σπουδὴν προ-
έτρεπεν ἀκοιμήτῳ τῷ ὄμματι. τότε οὖν ποθεινοτάτη καὶ εὐπρεπεστάτη καὶ ὑπερ-
καλλίστη ἐγεγόνει ἡ | χώρα τῆς Ἀρμενίας. ὡς || γὰρ ὁ Μωϋσῆς νομοθέτης **637** 123²
εὑρεθεὶς ταῖς ἑβραϊκαῖς παρεμβολαῖς μετὰ τοῦ προφητικοῦ χοροῦ, καὶ ὁ παρρη-
σιαστικώτατος Παῦλος μετὰ τοῦ ἀποστολικοῦ συστήματος, καθ᾽ ὁμοίωσιν αὐτῶν

29 42 Act 1, 1 | 31 Matth 5, 1—11 | 32 Matth 6, 9—13 | 33 Matth 26, 44 | 36 Matth 26, 41 |
39 Rom 8, 26 | 51 Hebr 11, 38

28 ὑπομνήσκοντες | 35 τούτου | 40 θεωρίας [so] | 46 δεξάμενος | 50 ἠργάσαντο | 52 δουλίαν | 54 οὕτως |
54/55 παραδώσεις | 60/61 παρρησιαστηκώτατος

εἰς μέσον παρελθών, τὸ ζωοποιὸν κήρυγμα τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐπειράθη τῇ τῶν Ἀρμενίων γλώττῃ. τὴν θεοσέβειαν πάντας ἐδίδαξεν, καὶ ἐν πάσαις χώραις πορευόμενος ἐπελέξατο ἑαυτῷ εἰς κατοίκησιν ἐρήμους τόπους, κἀκεῖσε ᾤκει· ἀπὸ τῶν ἐρημιῶν πάντας εἶναι ἐπισκόπους πάσαις ταῖς πατρίσιν τῆς Ἀρμενίων χώρας. οἱ δὲ ὑπ᾽ αὐτοῦ χειροτονηθέντες καὶ κατασταθέντες πλείους ἢ τετρακόσιοι ἐπίσκοποι ἦσαν, οἳ καὶ διαφόροις τόποις ἐπεσκόπησαν. τὸ δὲ πλῆ-
638 θος τῶν πρεσβυτέρων καὶ διακόνων καὶ ἀναγνωστῶν καὶ ἄλλων τῶν ἐν ‖ τῇ λειτουργίᾳ τοῦ θεοῦ κατασταθέντων τὸν ἀριθμὸν ὑπερβαίνει. Τιριδάτιος δὲ ὁ βα-
$124^1$ σιλεὺς τὴν εὔνοιαν τῶν ὑπηκόων ἀπαιτῶν, τὴν πίστιν | τῆς πρὸς αὐτὸν εὐνοίας ἀπὸ τῆς ὑποταγῆς πρὸς τὰς ἐντολὰς τοῦ θεοῦ τὸν λαὸν ἐπιδείκνυσθαι ἔφασκεν, καὶ ἐν τῇ πίστει τῇ πρὸς τὸν ἁπάντων δημιουργὸν καὶ θεόν. καὶ πάντων μετὰ προθυμίας πεισθέντων, ἐν σπουδῇ ἐπληροῦντο τὰ προστεταγμένα. πολλάκις δὲ ὁ βασιλεὺς προσπίπτων ἠντιβόλει τὸν ἀρχιεπίσκοπον αὐτῷ παραμεῖναι διὰ παντὸς καὶ περινοστεῖν τὰς χώρας. ὁ δὲ οὐκ ἐπένευεν, ἀλλ᾽ ἐν ταῖς ἐρήμοις κατοικῶν, ἐν νηστείαις κατέτρυχεν ἑαυτόν, ἵνα μὴ ἀπὸ τῆς ὑπερηφανίας ἐπαρθεὶς καταπατηθῇ, ἀλλ᾽ ὥρισεν ἑαυτῷ ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ διὰ τεσσαρά-
639 ‖ κοντα ἡμερῶν τὴν νηστείαν ἄγειν μέχρι τῆς τοῦ Χριστοῦ κλήσεως καὶ ἀναπαύσεως τῆς ἰδίας τελευτῆς.

**158** ὁ δὲ βασιλεὺς σὺν πάσῃ τῇ χώρᾳ ὀδυρόμενος τὸν χωρισμὸν αὐτοῦ, ἐν πολλῇ ἀδημονίᾳ διῆγεν. τότε ἀκούσας ὁ βασιλεὺς παρά τινων ἐπισταμένων περὶ τοῦ ἁγίου Γρηγορίου ὅτι νεώτερος ἔτι ὑπάρχων, καὶ βιώσας, δύο ἔσχεν υἱούς,
$124^2$ | ὧν ὁ μὲν πρωτότοκος ἐγνωρίζετο Οὐρθάνης τοὔνομα, ὅστις καὶ αὐτὸς ἐν τῷ βίῳ διαπρέπων εἰς βαθμὸν λειτουργίας πρεσβυτέρου προῆλθεν. ὁ δὲ δεύτερος Ἀρωστάκης, ὅστις ἐκ νέας ἡλικίας ἐν τῷ θεϊκῷ ἔργῳ τε καὶ δουλείᾳ ἀνετράφη, ἀναχωρητής τε καὶ ἀσκητὴς ὢν καὶ τὰ ὄρη οἰκῶν καὶ πολλαῖς κακοπαθείαις
640 ὑποπιεσθεὶς κατὰ τὸ εὐαγγέλιον πάσῃ τῇ γυμνασίᾳ καὶ τοῖς πνευματικοῖς μαθήμασιν ἐξέδωκεν ἑαυτόν, ὅτι τε μονοχίτων ἦν καὶ μόνος καὶ πεινῶν καὶ διψῶν καὶ λαχάνοις χρώμενος, ἀπεκέκλειστο ἐν ἐνδύμασι ταπεινοῖς καὶ χαμοκοιτίαις, πολλάκις τὰς νυκτερινὰς ἀγρυπνίας ἐν ἀκοιμήτῳ ὄμματι ἐκ ποδὸς ἀποπληρῶν, καὶ τοῦτο οὐκ ἐπὶ ὀλίγῳ χρόνῳ, ἀλλ᾽ ἐπὶ πλείστῳ οἰκούμενος. εὑρηκὼς δὲ τινάς, προσπελάσαι ἑαυτῷ πεποίηκεν, καὶ κατηχήσας αὐτούς, ἐδίδαξεν τὴν εὐαγγελικὴν λει-
$125^1$ τουργίαν καὶ τοὺς ἐπερχομένους πειρα|σμοὺς ἀνδρείως φέρειν. οὗτος δὲ φωστὴρ γενόμενος καὶ ὑπερεκλάμψας, ἐγνώσθη θεῷ καὶ ἀνθρώποις. περὶ τούτων ἀκριβέστερον μαθὼν Τιριδάτιος ὁ βασιλεύς, ἐν τάχει καὶ ἀνυπερθέτως ἀπέστειλε
641 τρεῖς τῶν ἐνδοξοτάτων ἀρχόντων μετὰ θείων γραμμάτων, ἵνα τοὺς δύ‖ο υἱοὺς Γρηγορίου κομίσωσιν αὐτῷ.

**159** τῶν δὲ πεμφθέντων παρὰ τοῦ βασιλέως ὁ πρῶτος, στρατοπεδάρχης

62/63 ἐπειράσθη | 65 ἐρημίων | 66 η von χειροτονηθέντες von erster Hand über der Zeile | 69 τηρηδάτιος | 70 τῆς B, τὴν m | 73 πισθέντων | 74 ἠντιβούλει | 76 ἐπαρθῆς | 77 ὅρισεν | 85 ἀρρωστάκης | 85 δουλία | 87 ὑποπιεσθεὶς von erster Hand aus ὑποπιασθεὶς | 88 μονογείτων ἤ | 95 τηρηδάτιος | 96 ἐνδοξοτάτων L, ἐνδοτάτων m

πάσης τῆς μεγάλης Ἀρμενίας, ὁ δεύτερος Τασάτης Ἀσουήνων πατρίδος ἄρχων, ὁ τρίτος Δατὰς ὁ προμηνυτὴς τοῦ βασιλέως. παραγενόμενοι οὖν οὗτοι ἐν τῇ Καππαδόκων χώρᾳ εὗρον τὸν Οὐρθάνην ἐν τῇ Καισαραίων πόλει. ὁ δὲ ἅγιος Ἀρωστάκης ᾤκει ἐν ταῖς ἐρήμοις ἀναχωρητής, ὅστις οὐκ ἐπείθετο χωρισθῆναι τῆς ἡσυχίας καὶ συνελθεῖν αὐτοῖς, εἰ μὴ ἐγεγόνει συνέλευσις πλήθους Χριστιανῶν, οἳ καὶ πάντα ποιήσαντες, ἐποίησαν ἅμα αὐτοῖς συνελθεῖν αὐτόν, | φάσκοντες 125[2] Βέλτιόν σοι ὑπάρχει ὁ κόπος τῆς τοῦ θεοῦ ἐργασίας ἢ περιμονία τῆς ἐν τῇ ἐρήμῳ κατοικίας. προπέμπουσιν οὖν αὐτὸν σὺν τῷ ἰδίῳ ἀδελφῷ. οἱ δὲ ἀπεσταλμένοι, παραγενάμενοι ἐν τῇ Ἀρμενίων χώρᾳ, τοὺς δύο υἱοὺς Γρηγορίου παρέστησαν **642** τῷ βασιλεῖ. οὓς δεξάμενος ὁ βασιλεύς, σὺν αὐτοῖς εἰς ἐκζήτησιν τοῦ ἁγίου Γρηγορίου ἐξῆλθεν, ὅπου δ' ἂν εὕροι. καὶ ἐλθὼν εὑρίσκει αὐτὸν ἐν τῇ Δαραναλιτῶν πατρίδι, ἐν τῷ ὄρει τῷ καλουμένῳ Μαναάρχ, ἐν τῇ ἐρήμῳ. παρεκάλεσεν οὖν ὁ βασιλεὺς Τιριδάτιος τὸν ἅγιον Γρηγόριον, Ἀνθ' ὧν (φησίν) οὐκ ἠβουλήθης παραμεῖναι ἡμῖν, ἀγαπήσας τὴν ἐρημίαν καὶ τὸν μοναστικὸν βίον, χειροτόνησον ἡμῖν ἐπίσκοπον τὸν ἅγιον υἱὸν Ἀρωστάκην ἀντὶ σοῦ. ὃ δὴ καὶ πεποίηκεν αὐτός, κατὰ τὸ γεγραμμένον Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.

**160** οὗτος ὁ Ἀρωστάκης ὑπερβαλλόντως κάλλιστος εὑρεθείς. ἐπλεόνασε τὴν διδασκα|λίαν ὑπὲρ τὸν πατέρα, καὶ μετ' αὐτὸν κρατήσας τοῦ πατρικοῦ τόπου, 126[1] παρέλαβε τοὺς οἴακας τοῦ καθολικοῦ θρόνου τῆς μεγάλης Ἀρμενίας. τότε **643** καὶ αὐτὸς ὁ ἅγιος Γρηγόριος ἐκπορεύεται περιελθεῖν τοὺς τόπους, καὶ τὰς διαταγὰς τῶν μαθητευομένων περιεργάσασθαι, ὅπως παραμυθήσηται αὐτοὺς καὶ χαροποιήσῃ καὶ πλέον ἐν τῇ πίστει στηρίξῃ. Τιριδάτιος δὲ ὁ εὐσεβέστατος βασιλεὺς ὑπηρέτει αὐτῷ κατὰ τοὺς μαθητὰς τῆς πίστεως τοῦ Χριστοῦ. ἀμέτρως γὰρ εὐλαβέστατος εὑρεθείς, καὶ τὴν θεογνωσίαν παρ' αὐτοῦ ἀναδεξάμενος, μετὰ πάσης γυμνασίας ἐν τῇ θεϊκῇ διαταγῇ προέκοπτεν, καὶ ποθεινότατος πᾶσιν ἐγένετο ἐν τῇ τηρήσει τῶν ἐντολῶν τοῦ θεοῦ, τύπος λοιπὸν τῶν ἀγαθῶν ἔργων πάσῃ τῇ χώρᾳ γινόμενος, προσέχων μετὰ πάσης σπουδῆς τῇ ἀναγνώσει τῆς θεοπνεύστου γραφῆς, ὅτι μάλιστα τῆς ἑλληνικῆς παιδεύσεως ἄκρως ἦν, μετεσχηκὼς ἐν τῇ | φιλοσοφίᾳ καὶ κοσμικῇ γυμνασίᾳ· μεμαθηκὼς γὰρ ταύτην ὑπῆρχεν. δεξάμενος 126[2] δὲ καὶ τὴν οὐράνιον χάριν τῆς τοῦ Χριστοῦ δωρεᾶς, παραυτίκα φωτισθεὶς **644** καὶ ἰχνηλατήσας τὰς διαταγὰς τῶν τοῦ θεοῦ προσταγμάτων, ἑτοίμως τὴν ψυχὴν αὐτοῦ τῷ θεῷ προσανέθηκεν, καὶ κατὰ τὸ εὐαγγελικὸν μέτρον ὁλοθύμως εἰς δουλείαν τοῦ φιλανθρώπου θεοῦ ἐκδοὺς ἑαυτόν, ἀπεγυμνώθη παντελῶς τῶν ἐθνικῶν ἐπιθυμιῶν, φέρων ἐπὶ τῷ στόματι διὰ παντὸς τὸ καύχημα τοῦ δεσποτικοῦ σημείου, καὶ ἀκολούθως λατρεύων τῷ ἐσταυρωμένῳ, τῷ πάντων ζωοποιῷ.

14 Psalm μδ 17

99 der erstgenannte hieß nach א Ἀρταουάζδης, welcher Namen irgendwo einzufügen sein dürfte | 99 ἀσουήν· ὧν | 1 καππαδοκῶν | 1 εὑρῶν | 5 ἢ B, ἡ m | 7 zu παραγενάμενοι ganz klein von nicht griechischer Hand ein ο über der Zeile | 9/10 δαραναλητῶν πατρίδη | 11 τηρηδάτιοσ | 21 χαροποιήσει | 21 τηρηδάτιοσ | 25 α von πάσῃ unterm Schreiben aus η | 26 ἀναγνώσῃ | 32/33 ἐθνηκῶν | 34 ἐστραυρωμένῳ

**161** εὐδοκήσας δὲ μάλιστα συνεῖναι τῷ χορῷ τῶν τοῦ Χριστοῦ μαθητῶν,
καὶ τοῖς τὸν αὐτοῦ σταυρὸν βαστάζουσιν ἁγίοις, ὅρον ἑαυτῷ ἐξέθετο ἐν νηστεί-
αις καὶ ἀγρυπνίαις καὶ ἀπαύστοις εὐχαῖς καὶ στεναγμοῖς ἀλαλήτοις ὅλον τὸν
χρόνον ἐκτελέσαι καὶ πηγὰς δακρύων ἐκφέρειν, δεόμενος τοῦ θεοῦ διὰ παντὸς
127[1] ὑπὲρ ἑαυτοῦ τε καὶ τῆς ἰδίας χώρας, τὴν συγ|χώρησιν ἐκζητῶν, ἵνα μὴ τὰ πρό-
645 τερα τὰ ἐν ἀγνοίᾳ ἡμαρτημένα αὐτῷ ἀναμνησθῶσιν. ‖ πολλῇ δὲ σπουδῇ ἐν πάσῃ
τῇ δυνάμει ὑπακούων τῇ εὐαγγελικῇ διδασκαλίᾳ, ὑπετάσσετο εἰς τὸ δουλεύειν
τῷ θεῷ εὐπρεπῶς καὶ δεόντως. οὕτως οὖν παιδευθεὶς προέκοπτεν διὰ πάσης
εὐθύτητος ἐν ἔργοις ἀγαθοῖς, ὥστε καὶ αὐτὸν ἤδη ὑπερεκπερισσοῦ τῆς θεϊκῆς
διδασκαλίας ἔξαρχον καὶ προστάτην γενέσθαι. Γρηγόριος δὲ ὁ μέγας ἀρχιεπί-
σκοπος μετὰ τοῦ ἁγίου αὐτοῦ υἱοῦ Ἀρωστάκου καὶ συναντιλαμβανομένων αὐτῷ
συνέργων περινοστήσας. τοὺς μαθητευθέντας ἐστήριξεν ἐμμεῖναι ἐν τῇ ἀληθινῇ
διδασκαλίᾳ.

**162** τούτων δὲ οὕτως ἐχόντων, ἐν τοῖς καιροῖς ἐκείνοις ἐβασίλευσεν Κωνσταν-
τῖνος. υἱὸς Κωνσταντίου βασιλέως, ἐν τῇ χώρᾳ τῶν Σπανίων καὶ Γαλλίων, καὶ ἐ-
646 πίστευσεν εἰς θεόν. τὸν ποιητὴν οὐρανοῦ καὶ γ‖ῆς, καὶ εἰς τὸν αὐτοῦ υἱόν, τὸν λόγον
127[2] τοῦ θεοῦ, τὸν μονογενῆ, καὶ τὸ ἅγιον πνεῦμα | τῆς θεότητος αὐτοῦ. οὗτος συνα-
θροίσας ἄπειρον πλῆθος ἐπὶ τὴν μεγάλην θάλασσαν τὴν ἐν τῷ ὠκεανῷ, τοῦτον
τὸν λόγον τὸν περὶ τῆς πίστεως πᾶσι διέθετο, ἵνα ὁμοθυμαδὸν πάντες τῇ ἀλη-
θείᾳ πιστεύσωσιν, ἐν ἑνὶ θεολόγῳ φθόγγῳ ἐπὶ τὸ αὐτὸ τὰς ἐντολὰς τοῦ θεοῦ
ἐπιτελοῦντες, ὥστε ἑνὸς θεοῦ προσκυνητὰς γενέσθαι. καὶ θαρρήσας τῷ θεῷ τὰ
τῶν Ἑλλήνων βασιλέων ὥρμησεν, καὶ εὐθέως ἐξολοθρεύσας, ἀπώλεσεν πάντας
διὰ τῆς δυνάμεως τοῦ δεσποτικοῦ σημείου, τοὺς ἀκαθάρτους καὶ παρανόμους βα-
σιλεῖς, τὸν Διοκλητιανὸν καὶ Μαρκιανὸν καὶ Μαξιμιανὸν καὶ Λικινιανὸν καὶ Μα-
ξέντιον, καὶ πᾶν ἀκάθαρτον γένος τῶν ἐθνικῶν βασιλέων ἐξῆρεν ἐκ μέσου, καὶ ᾠ-
647 κοδόμησεν ἐκκλησίας ‖ καὶ τὰ κατεστραμμένα θυσιαστήρια ἔστησεν ἐν τοῖς οἴκοις
τοῦ θεοῦ. ἐξεδωμάτωσεν δὲ καὶ μαρτύρια, καὶ ἐπλήθυνε τοὺς λειτουργοὺς αὐτῶν,
128[1] προσέθηκέν τε τιμὴν καὶ τοῖς ἱερεῦσιν τοῦ | θεοῦ. καὶ ἐποίησεν εἰρήνην τοῖς ἐπι-
γείοις, καὶ ἐξῆρεν ἐκ μέσου τὰ σκάνδαλα, ἵνα μηδεὶς ἐν μηδενὶ προσκόψῃ εἰς τὴν
θεϊκὴν πορείαν. κατέστρεψέν τε καὶ τὰ βδελυκτὰ ἱερὰ τῶν δαιμόνων καὶ τοὺς ὑ-
πηρέτας αὐτῶν φυγάδας ποιήσας ἐξήλειψεν. δῶρα δὲ καὶ τιμὴν ἐχαρίσατο τοῖς ἐν
τῇ ἀληθινῇ θεοσεβείᾳ ἐμμείνασιν καὶ μὴ ἀφισταμένοις τῆς εὐθύτητος.

**163** τούτου οὖν ἕνεκεν ἐχαρίσθη αὐτῷ νίκη πρὸς πάντας· ἀνεδέξατο γὰρ
εἰς αὐτὸν καὶ τὸ σημεῖον, τὸ τοῦ ἀεὶ νικῶντος σταυροῦ, καὶ τὰ προστάγματα τῆς
648 ἀληθινῆς ἐντολῆς, καὶ ἐμμένειν ἐν τῇ ἑδραίᾳ πίστει τοῦ κυρίου ἐπηγγείλατο, καὶ
ταύτην διὰ γραμμάτων εἰς τὴν οἰκουμένην ἥπλωσεν. ἐξέπληξεν δὲ πάντας τῇ ἀ-
νικήτῳ δυνάμει διὰ τῆς φωτοφόρου πίστεως, καὶ εὐσεβῶς τῷ δεσπότῃ αὐτοῦ προ-
σκείμενος διετέλεσεν. οὕτως ὑπερισχύσας ἐφυγάδευσε τὴν στρατιὰν τοῦ σκότους,

37 Rom 8, 26 | 69 Tim α 2, 15

36 τὸν B, τῶν m | 46 ἐν τῇ B, ἀντῇ m | 49 κώσταντοῦ [so], aber vor dem Acut steht ein (ihn verdammender) Punkt | 51 οὕτωσ | 56 ὅρμησεν | 58 λικιανὸν | 59 ἐθνηκῶν | 60 κατεστρεμμένα | 68 anderes τὸ B, τὸν m

καὶ ἀνώτερος πάντων ἐγένετο. τοὺς δὲ | ὑποταγέντας τῇ προσκυνήσει τῆς ἀληθείας 128[2] ὡς φίλους μετὰ πλείστης τιμῆς οἰκείους ἑαυτῷ ἐποίει, καὶ τούτῳ τῷ τρόπῳ πάντων τῶν ἀνθρώπων δυνατώτερος εὑρεθείς, τὴν ἰδίαν βασιλείαν παρὰ τοῦ θεοῦ δεδομένην ὄντως βασιλείαν ἡγεῖτο. ἐπὶ τοσοῦτον δὲ προέκοψεν ἐν τῇ εὐαρεστήσει τοῦ θεοῦ, ὥστε πά||σας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ ὑπὸ ἀγγέλων ὑπηρετεῖσθαι, καὶ 649 τὸ σημειόχριστον διάδημα ἐπὶ τῆς κεφαλῆς κατὰ πρωῒ ἐπιτιθέναι. οὕτως θεωρῶν οὐράνιον ἄγγελον τῇ ἰδίᾳ ὑπηρεσίᾳ ὁ μακαρίτης, ποθεινότατος πᾶσιν ἐγένετο ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος, ὃς καὶ τὴν ἰδίαν ἁλουργίδα τῷ Χριστῷ προσανέθηκε. διὰ γὰρ τῆς ἐνούσης αὐτῷ θεοσεβείας πάντας ὑπερνικήσας, ἔστησε τὴν βασιλείαν αὐτοῦ ἐν πίστει, καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις ἐβεβαίωσε τὴν ἀληθινὴν πίστιν.

**164** τούτων δὲ ἀκουστῶν γενομένων ἐν τῇ Ἀρμενίων χώρᾳ | καὶ ἐν τῷ πα- 129[1] λατίῳ τῆς βασιλείας τῶν Ἀρσακιδῶν πρὸς Τιριδάτιον βασιλέα τῆς μεγάλης Ἀρμενίας, πολλὴν εὐχαριστίαν προσενέγκας τῷ θεῷ, μετὰ πλείστης χαρᾶς καὶ εὐφρο||σύνης εὐλόγησε τὸν κύριον, ὅτι ἐν πάσῃ τῇ γῇ δοξάζεται τὸ πανάγιον αὐτοῦ 650 ὄνομα. ὅτε οὖν ἤκουσε τοιαῦτα ὁ βασιλεύς, ἐβουλεύσατο μετὰ σπουδῆς πορευθῆναι πρὸς αὐτόν. καὶ ἕτοιμος γενόμενος. παραλαμβάνει τὸν μέγαν ἀρχιεπίσκοπον Γρηγόριον καὶ τὸν υἱὸν αὐτοῦ Ἀρωστάκην ἐπίσκοπον, καὶ ἀπὸ τῶν περὶ αὐτὸν ἐνδόξων τοὺς τέσσαρας τιμιωτάτους τοῦ ἰδίου παλατίου, τὸν πρῶτον τοποκράτορα ἀπὸ Νορσιρακέων μερῶν, τὸν δεύτερον τοποκράτορα ἀπὸ τῶν τῆς Ἀσσυρίας μερῶν, τὸν δὲ τρίτον ἀπὸ τῶν Ἀρουαστῶν μερῶν, τὸν δὲ τέταρτον ἀπὸ τῶν Μασαχούτων Οὔννων μερῶν, καὶ τὸν μέγιστον ἄρχοντα τοῦ οἴκου τῶν λεγομένων Ἀγγελιτῶν, καὶ τὸν στέφοντα τὸν βασιλέα ἄρχοντα, Ἀσπὲτ λεγόμενον, καὶ τὸν στρατοπεδάρχην τὸν μέγαν, καὶ τὸν ἄρχοντα Μαλκαζιτῶν, καὶ τὸν ἄρχοντα Συνιτῶν, καὶ τὸν ἄρχοντα | Ῥεστουνιτῶν, καὶ ἀπογράφοντα ἄρχοντα, καὶ τὸν ἐθνάρχην Σααπια- 129[2] νῶν, καὶ τὸν ἄρ||χοντα Σπασκαπετέων, καὶ πλείστους τῶν ἄλλων μεγάλων καὶ ἑ- 651 βδομήκοντα χιλιάδας ἐκλεκτῶν στρατοπέδων.

**165** ἐξελθὼν οὖν Ἀραρὰτ τῆς πατρίδος καὶ Οὐαλαρσαπὰτ τῆς πόλεως, ἐπέρασεν εἰς τὰ μέρη τῆς Ἰωνίας. πολλὰς δὲ ἡμέρας διανύσας, ἐν πλείστῃ εὐφροσύνῃ καὶ τιμῇ καὶ ἑτοιμασίᾳ κατὰ τὰς πόλεις ὑπὸ πάντων τῶν ἀρχόντων μετὰ μείζονος ὑποδοχῆς, διὰ γῆς τε καὶ θαλάσσης ἐπειγόμενος, ἔφθασεν ἐν τῇ χώρᾳ τῶν Ἰταλῶν εἰς τὴν βασιλεύουσαν πόλιν τῶν Ῥωμαίων. καὶ περὶ τούτων παραυτίκα ἐμηνύθη ἐν τῷ βασιλικῷ παλατίῳ. ἀκούσας δὲ ὁ θεοσεβέστατος βασιλεὺς καὶ τιμιώτατος τῶν βασιλέων Κωνσταντῖνος καὶ ὁ ἀρχιεπίσκοπος, εἰσπορευόμενος ἐν τῷ αὐτοῦ παλατίῳ πάντοτε, ὁ καλούμενος Εὐσέβιος, μετὰ μεγίστης τιμῆς καὶ 652 ἀγάπης ἐξῆλθον εἰς ἀπάντησιν αὐτῶν καὶ ἡτοίμασαν ξένια ἐν τῇ αὐτῇ οἰκουμενικῇ πόλει, ὅπως ἀναπαύσωνται ἀπὸ τοῦ μήκους τῆς ὁδοιπορίας. | θαυμάσας οὖν ὁ θεο- 130[1]

73 ὑποταγενταγέντασ m[1] zurecht radiert | 75/76 δεδωμένην | 78/79 θεορῶν | 85 ἀρσακιτῶν | 85 τηρηδάτιον | 90 Ende αυτῶν | 92 νορσιρέων | 93/94 μασαχοῦτῶν οὔννων | 96 μακιτῶν | 96 συνιστῶν | 97/98 σαπιανῶν | 98 Σπασκαπετέων ℵ, aus սպասահիկ = سپاه und պետ richtig gebildet: πασκαπετέων m | 100 ἀρηρὰτ | 7 αὐτῷ m[1], αὐτοῦ m[2] erster Hand | 7 εὐσέβειοσ m, Σιλβέστρος ℵ | 8 ἑτοίμασαν | 9 ἀναπαύσονται | 9 ὁδοιπορείασ

φιλέστατος Καῖσαρ Κωνσταντῖνος, ἐπηρώτα τὸν βασιλέα Τιριδάτιον λέγων Πῶς
πρὸς σὲ τὰ θαυμάσια τοῦ θεοῦ γέγονεν, ἀδελφέ; ὁ δὲ διηγήσατο πάντα ἀκριβῶς
ἐπὶ τοῦ Καίσαρος, τὴν παρὰ τοῦ θεοῦ γεγενημένην φιλανθρωπίαν καὶ τὴν τιμω-
ρίαν τοῦ γενέσθαι ἐν μορφῇ κτηνῶν ἀνεπαισχύντως ἐξαγγείλας, καὶ τὴν ὑπομο-
νὴν τῶν ἀθλοφόρων μαρτύρων καὶ πάντα τὰ πεπραγμένα λεπτομερῶς ἐξειπών. καὶ
τὸν παρεστῶτα μέγαν Γρηγόριον ἐπὶ τοῦ Καίσαρος ἀποδεικνύων, Οὗτός ἐστιν, ἔφη,
653 ὁ ἀνὴρ δι' οὗ ἡμεῖς ἔγνωμεν ‖ τὴν φιλανθρωπίαν τοῦ θεοῦ, καὶ περὶ τοῦ ἀνδρὸς
καρτερίας καὶ ὑπομονῆς καὶ τῶν σημείων καὶ θαυμάτων δι' αὐτοῦ γενομένων.

166 δι' ὅπερ ὑπερθαυμάσας ὁ θειότατος Καῖσαρ Κωνσταντῖνος καὶ ταπει-
νώσας ἑαυτόν, ἔπεσεν εἰς τοὺς πόδας τοῦ ἁγίου Γρηγορίου, ἵνα εὐλογηθῇ παρ'
αὐτοῦ. πρεπόντως δὲ αὐτὸν τιμήσας ὡς τοῦ Χριστοῦ ὁμολογητήν, ἀξίως καὶ τὸν
130[2] βασιλέα Τιριδάτιον ἀδελφικῷ φιλήματι προσεδέξατο. καὶ | ἠγάπησεν αὐτὸν ὡς γνη-
σιώτατον ἀδελφὸν καὶ ὁμόψυχον, μάλιστα θεωρῶν αὐτὸν φιλόχριστον, καὶ διαθή-
κην πρὸς αὐτὸν διέθετο, μεσίτην ποιησάμενος αὐτῶν τὴν εἰς τὸν κύριον ἡμῶν
Ἰησοῦν Χριστὸν πίστιν, ὅπως ἀπαραλείπτως ἡ φιλία μεταξὺ τῆς βασιλείας αὐ-
τῶν εἰς τέλος διατηρηθείη. καὶ περισσῶς ἐβεβαίωσε τὸν βασιλέα τῆς Ἀρμενίας
654 ἐν τῇ ὁμολογίᾳ τῆς ἁγίας τριάδος. ‖ περὶ δὲ τῶν παναγίων τοῦ θεοῦ μαρτύρων
Κωνσταντῖνος ὁ μέγας Καῖσαρ διηγήσατο πῶς ἐν Ῥωμίᾳ οὖσαι ἐβίωσαν, καθ'
ὡς πάλαι περὶ αὐτῶν ἠπίστατο τὴν εὐάρεστον αὐτῶν τῷ θεῷ πολιτείαν, καὶ πῶς
συγγενίδες αὐτοῦ ὑπάρχουσαι, πάντων ὁμοῦ διὰ τὸν Χριστὸν κατεφρόνησαν. ἐξεῖπεν
δὲ καὶ τὴν νίκην τὴν δοθεῖσαν αὐτῷ παρὰ τοῦ θεοῦ πρὸς πάντας τοὺς ἐχθροὺς
τῆς ἀληθείας, πῶς πάντων περιεγένετο. καὶ φησὶ πρὸς αὐτὸν Γίνωσκε, ἀδελφέ,
ὅτι ὁ θεὸς ἐν πάσῃ τῇ γῇ ἀποδείκνυσι τὸ ἔλεος τῆς δεσποτείας αὐτοῦ, ὅπως
131[1] πάντα τὰ ποιήματα αὐτοῦ γνώσωνται αὐτὸν καὶ γένωνται προσκυνηταὶ τῆς ἀλη-
θείας. τοὺς γὰρ τοιούτους προσκυνητὰς βούλεται.

167 μετὰ δὲ ταῦτα τιμηθέντες πρεπόντως ὑπὸ τῶν βασιλικῶν καὶ τῶν ἐκ-
κλησιῶν καὶ τιμιωτάτων ἀρχόντων τῆς πόλεως ἐν δώροις μείζοσι, μετὰ πολλῆς
655 εὐνοίας συνετάξατο τῷ θείῳ Αὐγούστῳ. δεξάμενοι δὲ ἀσπασμὸν καὶ ἀπὸ τοῦ ἀρ-
χιεπισκόπου τῆς ἐκκλησίας καὶ τῶν ἐνδοξοτάτων ἀρχόντων, ἐξῆλθον μετὰ πάσης
τιμῆς. ἀναβιβάσαντες δὲ αὐτοὺς ἐν χρυσεμπάστοις ἅρμασι, κελεύσαντος τοῦ Καί-
σαρος, οὕτως προεπέμποντο εὐπρεπῶς ἐπὶ τὴν βασιλικὴν ὁδόν. λαμπρότατοι δὲ
φανέντες πάσαις ταῖς πόλεσι, καὶ κατὰ τὸ βασιλικὸν ἀξίωμα παρὰ πάντων τιμη-
θέντες, ἔφθασαν εἰς τὴν τῶν Ἀρμενίων χώραν, ἐν πατρίδι Ἀραρὰτ καὶ πόλει Οὐα-
λαρσαπάτ, ἔνθα τὰ κοιμητήρια ἦν τῶν μαρτύρων, φέροντες καὶ τὰ παρασχε-
θέντα δῶρα, χρυσὸν καὶ ἄργυρον καὶ τιμιώτατα σκεύη, ἐπὶ τῷ ἀναθέσθαι τῇ
131[2] ὑπηρεσίᾳ τῆς τοῦ θεοῦ ἐκκλησίας | καὶ τοῖς εὐκτηρίοις τῶν μαρτύρων. ἔδωκεν
656 δὲ καὶ ὁ μέγας Καῖσαρ εἰς τιμὴν τῶν μαρτύρων χρυσᾶ κειμήλια, οἱ δὲ καὶ προ-
σανέθηκαν, καὶ πλέον τῆς ἰδίας ἐκκλησίας ἐκόσμησαν. ὁ δὲ μέγας Γρηγόριος ἤρ-

16 Tit 3, 4 | 33 Ioh 4, 24 23

10 τηριδάτιον | 21 τηριδάτιον | 22 θεορῶν | 23 αὐτῶν B, αὐτὸν m | 28 ἐπίστατο | 30 δωθεῖσαν | 33 γνώσονται | 35 ἀπὸ | 36 μείζωσι | 38 ἐνδοξωτάτων | 39 ἀναβάσαντες | 42 πατρίδη

ξατο περινοστεῖν τοὺς μαθητευομένους καὶ ἐπὶ πλεῖον αὐτοὺς στηρίζειν τῷ ἀληθινῷ κηρύγματι.

**168** τούτων δὲ οὕτως ἐχόντων, μετὰ ταῦτα ἐκέλευσεν ὁ μέγας Καῖσαρ Αὐγοῦστος Κωνσταντῖνος σύνοδον πάντων τῶν ἐπισκόπων γενέσθαι ἐν τῇ Νικαέων πόλει. τότε ὁ μέγας βασιλεὺς Τιριδάτιος καὶ ὁ ἅγιος καὶ καθολικὸς Γρηγόριος παρασκευάσαντες ἀπέστειλαν τὸν Ἀρωστάκην ἐπίσκοπον, υἱὸν δὲ τοῦ ἁγίου Γρηγορίου, παρεγενέσθαι ἐν τῇ Νικαέων πόλει μετὰ πάντων τῶν ἐπισκόπων, ἔνθα πάσῃ τῇ οἰκουμένῃ ἐξεδόθη ἡ ἀληθινὴ παράδοσις τῆς πίστεως καὶ διατάξεις τῶν φωτοφόρων κανόνων, δεδομέναι εἰς εὐαρέστησιν τοῦ θεοῦ τοῦ ὑψίστου. ἐν ταύτῃ τῇ συνόδῳ εἰσελθὼν ὁ μέγας Καῖσαρ Κωνσταντῖνος, ὡμολόγησε τὴν ὀρθὴν πίστιν, καὶ παρὰ πάσης τῆς συνόδου εὐλογηθεὶς | καὶ στε‖φθείς, τὸ ἐπαινετὸν ὄνομα ἐν 657 $132^{1}$
τῇ γῇ κατέλειπεν, καὶ τὴν δικαιοσύνην ἐν τῷ οὐρανῷ προέπεμψεν. ὁ δὲ μακαριώτατος Ἀρωστάκης ἤρχετο ἐλλαμφθεὶς ἀπὸ τῆς πίστεως καὶ ἁγίας καὶ θεοπρεπεστάτης συνόδου σὺν τοῖς κανόσι τῶν Νικαέων. ἔφθασε δὲ ἐν τῇ τῆς Ἀρμενίας χώρᾳ, καὶ προσήνεγκε τῷ βασιλεῖ καὶ τῷ ἁγίῳ ἀρχιεπισκόπῳ τὴν ἐνεχθεῖσαν παράδοσιν. ἐν ταύτῃ οὖν τῇ πίστει ὁ ἅγιος Γρηγόριος καὶ τοῖς κανόσι φωτίσας τὴν κληρωθεῖσαν αὐτῷ χώραν τῆς Ἀρμενίας, συμπράττοντος δὲ καὶ τοῦ βασιλέως Τιριδάτου, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ ἐφωταγώγησε πάντας.

**169** ἔπειτα δὲ ὑψηλοτέρως κατηχήσαντος τοῦ μακαρίου Γρηγορίου ἐν πλείστοις λόγοις δυσερμηνεύτοις καὶ παραβολαῖς βαθείαις καὶ εὐακούστοις διὰ τοῦ πολυνοήμονος χαρίσματος, ἀπὸ τῆς δυνάμεως τῶν προφητικῶν γραφῶν πλήρης παντὸς γεύματος θεϊκοῦ, ῥυθμίσας κατὰ τὴν ἀληθινὴν καὶ εὐαγγελικὴν πίστιν ἐξέ- 658
θετο, πολλὰ δὲ | αἰνιγματωδῶς ἀπὸ τοῦ φθαρτοῦ κόσμου λαβών, ἐπὶ πλεῖον ἀπέ- $132^{2}$
δειξε τὴν ἐλπίδα τῆς ἀναστάσεως, πρὸς τὰ μέλλοντα εὐτρεπίζων πάντας, καὶ πείσας εὐχερῶς δέξασθαι τοὺς τῇ ἀγνοίᾳ καὶ σαρκικοῖς φρονήμασι κατεχομένους, ὅπως νήψωσι καὶ ἐνδυναμωθῶσιν διὰ τῆς περισσοτέρας προθυμίας, καὶ ἑδραῖοι γένωνται ἐπὶ τὸ βεβαιῶσαι τῶν εὐαγγελικῶν ἀγαθῶν τοὺς δρόμους. τὴν δὲ ἐπιστασίαν τῶν ἁγίων ἐκκλησιῶν χάριτι Χριστοῦ ἀνελλιπῶς ἔφερεν, καὶ πλέον ἐσπούδαζεν, πάντας προτρέπων εἰς ἀγαθοεργίαν, νυκτός τε καὶ μεθ' ἡμέραν ἐν νηστείαις καὶ εὐχαῖς καὶ ἀπαύστοις δεήσεσιν μετὰ μεγάλης τῆς φωνῆς τὰ θεϊκὰ προστάγματα ὑπομιμνήσκων, καὶ πάντα ἄνθρωπον ἀσφαλιζόμενος. καὶ οὐκ ἔδωκεν ὕπνον ὀφθαλμοῖς οὐδὲ νυσταγμὸν τοῖς βλεφάροις οὐδὲ ἀνάπαυσιν τοῖς κροτάφοις, μέχρις ἔφθασεν τὴν τοῦ κυρίου κλῆσιν.

**170** ‖ οὕτως μετὰ τοῦ βασιλέως καὶ πάντων τῶν μαθητῶν τὸν πάντα αὐτῶν 659
χρόνον τοῖς ἀναγνώσμασι σχολάσαν|τες τῆς θείας γραφῆς, νυκτὸς καὶ ἡμέρας ἐν $133^{1}$

78 Psalm ρλα 4

50/51 αὔγουστος | 51 νικααίων | 52 τηρηδάτιος | 54 νικααίων | 55 ἐξεδώθη | 55 παράδωσις | 60/61 θεοπρεπεστάτης unterm Schreiben aus θεοπρεπουστάτης | 61 νικααίων | 62/63 παράδωσιν | 65 τηρηδάτου [so] | 69 ῥυθμήσας | 72 τοὺς L, meine Abschrift τοῖς ohne Anmerkung aus m | 75 ἀνελλειπῶς, wo ως durch Sigel geschrieben | 78 erstes σ von ἀσφαλιζόμενος erster Hand über der Zeile | 78 ἔδωκε

αὐτοῖς ἤνθουν, καὶ κερδήσαντες πάντα τύπον ἀγαθόν, τοῖς φιλομαθέσι κατέλειπον, ἔχοντες θεϊκὰς παραγγελίας εἰς ἀσφάλειαν ἡμῶν. ὧν ἡ μὲν πρώτη διατάττει ἐν τῷ νόμῳ κυρίου μελετῶν νυκτὸς καὶ ἡμέρας, ἡ δὲ δευτέρα ὁμοίως παρακελεύεται προσέχειν τῇ ἀναγνώσει καὶ τῇ παρακλήσει καὶ τῇ διδασκαλίᾳ. μὴ ἀθέτει, φησί, τὴν ἐν σοὶ χάριν. ἐν ταύτῃ ἴσθι καὶ μελέτα, ἵνα σου ἡ προκοπὴ πᾶσι φανερὰ γένηται. πρόσεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, καὶ ἐν αὐτῇ χρονίσεις.
660 τοῦτο γὰρ ποιῶν σεαυτὸν σώσεις καὶ τοὺς ὑπακούοντάς σου. ‖ τούτῳ οὖν τῷ τρόπῳ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ ἀποστολικῶς διάγων, ἠκολούθει τοῖς παραγγέλμασι τῶν παραδεδωκότων. τοῦτο ποιήσας μέχρι τῆς τελευτῆς αὐτοῦ ἐν πάσῃ ψυχῇ ἐγκατέθετο τὴν τοῦ Χριστοῦ φωταγωγοῦσαν ἀγάπην.

171 ἡμεῖς δέ, καθ' ὡς ἐδεξάμεθα τὴν διάταξιν τοῦ σοῦ κράτους, ἄριστε
133² βασιλέων Τιριδάτιε, συγγράφειν τὰ ὑπο|μνήματα, ὡς χρηστοὺς χρονογραφέας τόμους, διεγλύψαμεν, καὶ κατὰ τὸν τύπον τῆς ἑλληνικῆς παιδεύσεως ἀκολούθως τὰ πάντα συνεγραψάμεθα. προσεσχηκότες δὲ καὶ ὡς ἐν ἐσόπτρῳ τῇ θεϊκῇ παραδόσει καὶ τῇ δεδομένῃ ἐντολῇ τῷ μεγάλῳ Μωϋσεῖ, ὅστις παραγενόμενος περὶ πάντων τῶν γενομένων πραγμάτων, τὰ θεϊκὰ προστάγματα παρέδωκεν διὰ τῆς συγγραφῆς εἰς τήρησιν τῶν ἐν τοῖς μετέπειτα αἰῶσιν ἐρχομένων. ἀκολούθως δὲ καὶ
661 τοῖς ἄλλοις προφήταις οἷς ὁ θεὸς διετάξατο, ‖ Λαβὲ σεαυτῷ, λέγων, τόμον νέον μέγαν, καὶ γράψεις ἐν αὐτῷ γραφίδι γραμματέως. καὶ ἀλλαχοῦ Γράψον τὴν ὅρασιν ταύτην ἐν πλαξὶν καὶ ἐν βιβλίῳ, ἵνα οἱ ἀναγινώσκοντες παρρησίᾳ ἀναγνώσωνται. ὁ δὲ ἅγιος Δαβὶδ ῥητῶς περὶ πάντων τῶν ἐθνῶν τὸν κλῆρον τῶν θείων προσταγμάτων σημαίνει, φάσκων Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ Κύριος διηγήσεται ἐν γραφῇ λαῶν. ὅπερ ἐλθὼν ἐπλήρωσεν Χριστὸς ὁ σωτὴρ ἡμῶν διὰ τῆς θεϊ-
134¹ κῆς χάριτος. Ἐξέλθετε, λέγων, εἰς | πάντα τὰ ἔθνη, καὶ κηρύξατε τὸ εὐαγγέλιον τοῦτο ὑπὸ κάτω τοῦ οὐρανοῦ. ὅθεν καὶ ὁ μακαριώτατος τῇ ἐλπίδι τοῦ θεοῦ ἐμπλησθείς, ἐν σπουδῇ ἐφανέρωσε κατὰ τὸ εὐαγγέλιον τὴν αὐτοῦ ἐργασίαν.

172 νῦν δὲ κατὰ τὸν τύπον τὸν γεγραμμένον ἐπὶ τέλει καταπαύσωμεν, οὐκ ἐκ παλαιᾶς φήμης ἐγνωκότες ἃ συνεγραψάμεθα ἀκολούθως, ἀλλ' οἷς ἡμεῖς πα-
662 ριστάμενοι, θεαταὶ ἐγενόμεθα τῶν πεπραγμένων ἔργων καὶ ἀκροαταὶ τῆς κεχαριτωμένης διδασκαλίας καὶ ὑπηρέται τῶν εὐαγγελικῶν προσταγμάτων, οὐ ψευδολογήσαντες μυθωδῶς ἐκ τῶν ἡμετέρων λόγων. πλεῖστα δὲ καταλιπόντες τῇ συντομίᾳ, τοῖς ἐπισημοτέροις ἐχρησάμεθα, συλλέξαντες τῶν χρησιμωτέρων τὴν σύνθεσιν. ὅπερ οὐχ ἡμῖν μόνοις, ὦ βασιλεῦ, ἀλλ' ὅταν καὶ ἐπὶ τοῦ σοῦ κράτους ὁ τόμος ἀναγνωσθῇ, πάντῃ ἔκδηλον γενήσεται· οὐδὲ γὰρ ἱκανοὶ ὑπήρχομεν πάντα τὰ πεπραγμένα παρὰ τῶν ἁγίων καθ' ἓν ἐπισημάνασθαι, ἀλλ' εἰς τὸ εὐχερέστε-

85 Psalm 1, 2 Iosue 1, 8 | 86 Timoth α 4, 13 | 86 Tim α 4, 14 | 87 Timoth α 4, 15 16 | 96 Cor α 13, 12 | 100 Isa 8, 1 | 1 Habacuc 2, 2 | 4 Psalm ρα 19 | 4 Psalm πς 6 | 6 Matth 28, 19? 24, 14? | 11 Luc 1, 2

83 ἤνθουσιν | 84 παραγγελείας | 87 ἴσθη | 88 χρονήσεις | 94 τηρηδάτιε | 96 ἐσώπτρω | 96/97 παραδώσει | 100 λάβε | 1 γραφίδει | 2 ἀναγνώσονται | 3 δᾶδ | 4 γραφείτω | 9 γεγραμμένων m[1] | 11 ἐγενώμεθα | 13 καταλειπόντες | 14 ἐπισημωτέροις | 16 πάντα | 16 ὑπήρχωμεν | 17 ἐπισημάνεσθαι

ρον καὶ ἀναγκαῖον καὶ ἡδύ|τατον ἀποστολικῶς τὴν προαίρεσιν ἐξεδώκαμεν, ὡς καὶ 134[2]
ὁ πανάγιος Λουκᾶς τὰ πλεῖστα τῶν ἁγίων ἀποστόλων ἔργα παρεὶς λεπτομερῶς
ἐκθέσθαι, τὰ ἀναγκαῖα καὶ ὠφελιμώτατα ἐξηγήσατο. ὅθεν καὶ ἡμεῖς καθ' ὅμοι-
ον τρόπον ἐξεθέμεθα, οὐκ εἰς τιμὴν τῶν ἐκλεκτῶν τοῦ Χριστοῦ, οἳ διὰ πάντων τῶν
καυχημάτων τοῦ ζωοποιοῦ σταυροῦ γνωρι||σθέντες ἐτιμήθησαν, ἀλλ' εἰς τύπον θάρ- **663**
σους τῶν πνευματικῶν γεννημάτων, τῶν μελλόντων μαθητευθῆναι ἐν διαφόροις γε-
νεαῖς κατὰ τὸν πνευματικὸν ψαλμῳδὸν τὸν λέγοντα Καθ' ὡς ἐνετείλατο τοῖς πα-
τράσιν ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ὅπως γνῷ γενεὰ ἑτέρα, υἱοὶ
τεχθησόμενοι, καὶ ἀναστήσονται καὶ ἀναγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν, ἵνα θῶν-
ται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ,
καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν, ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, ἀλλ'
ἵνα αὐτοὶ πρὸς τὸν δημιουργὸν οὕτω φθεγγόμε|νοι εἴπωσι Κύριος ὁ θεὸς ἡμῶν 135[1]
σὺ εἶ, καὶ αὐτὸς εἴπῃ Λαός μου ὑμεῖς ἐστέ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

24 Psalm οζ 5—8 | 29 Ierem 3, 22 | 30 Ierem 7, 23 11, 4? | 30 Hebr 13, 21

20 ὠφελήματατα m[1], ὠφελημότατα m[2] unterm Schreiben | 20/21 ὁμοιτρόπον | 27 ἐπιλάθονται | 28 ἐκ-ζητήσουσιν

Mir ist zweifelhaft geworden, ob ich Recht gethan Τιριδάτιος herauszugeben: ich bitte also auch in diesem späten Texte überall Τηριδάτιος usw. zu schreiben, und ich werde diese Form in das Register aufnehmen.

In der Zählung der Kapitel springen die Bollandisten von 111 auf 113: diesen Fehler habe ich berichtigt.

Aus Versehen ist bei den Kapiteln 3 10 28 46 59 eine nutzlose andere Abtheilung der Bollandisten angedeutet: ich bitte diese Zahlen zu tilgen.

Ich lasse hier das oben 7r Versprochene folgen*):

| 9² | 10¹ |
|---|---|
| ἀρταβάνην ἀρτ ἆσ μ τεσ | δούκτασ· αὐτὸς δὲ ὁ βασιλεὺς ἀρτα |
| ἑ ῶ βασι αρ εχ ου | βάνησ ελεγε προς αρτασίραν ουχ οιοσ |
| γὰρ οιοτε ¨ φ | τε ειμι τῆσ εμῆσ βασιλείασ ετι ζων |
| σθαι μὰ ατα σοῦ | ἔξω γενέσθαι οὐδε δουλεύειν σοι τὸ μέ |
| καὶ κύριοσ ὑπάρχω | χρι τησ σημερον δουλω μου ὑπάρχοντι· |
| δίδου ἐμοὶ ἑκὼν τὸ στέμμα φορεῖν | θανειν ἀναγκαῖον ἢ |
| προσ δωρή ομά χώραν μίαν ἐν ῇ | φιαν πραττειν κ |
| βιωσησ καλῶσ· μέμνησο δὲ τῶν σῶν | ὅρμησεν κατὰ περσῶν τε |
| ῥημάτων ἡνίκα εἴρηκασ τῇ βασιλίσ | καταβαλων δὲ πρὸσ ἀρ |
| ση ἀποβλέψασ εἰσ τοὺσ δρόμουσ τῶν ἀ | τασιρᾶν τὸ δόρυ θυμωσ |
| στέρων ἐν ἐκείνῃ τῇ ἡμέρα ἡμεῖσ | ὁ δὲ ἀρτασιρᾶς τέχνῃ τῇ |
| ἀκούσαντεσ ὁρ | αρι γειν |
| μήσαμεν ἐπιστάμενοι τὴν μὲν | οσ |
| ἐμὴν νίκην σὴν δὲ ἀπώλειαν χώρει | του |
| εἰσὸ θῇ · ἀρταβάνησ δὲ πρὸσ | πλην |
| τοὺσ οικειασ ανορ ἐν καὶ σ | ραμ |
| ἀποβλέψασ ὡσ χ ρη | ρα |
| σι λέγει δεὸ ´ υο κέτι | νησ ὁ δὲ |
| γυναικὶ μήτε ἀγαθὸν μήτε | συ ουσ |
| φαῦλον λέγειν τινά τ῀ | τοσ πέμψαντεσ πρέ |
| μφόρων λέγειν εἶν | σβεισ προσ αρταβανην |
| ` βασίλισσα | ἀρ |
| προδέδωκέ με λτωσ | κα |
| μαι εἰ αγνοουμενησ τησ ἀρτα | αναχ χαρ εμ |

*) die Accente der Handschrift sind, [wo sie selbstverständlich und ?] wo sie unleserlich waren, nicht [abgeschrieben und nicht] ergänzt.

*Im Drucke am 29 December 1887 beendet.*

# ZOBODAT - www.zobodat.at

Zoologisch-Botanische Datenbank/Zoological-Botanical Database

Digitale Literatur/Digital Literature

Zeitschrift/Journal: Abhandlungen der königlichen Gesellschaft der Wissenschaften zu Göttingen

Jahr/Year: 1889

Band/Volume: 35

Autor(en)/Author(s): Lagarde Paul de

Artikel/Article: Agathangelus 3-88